igungsgrund chronologisch sonder-ar aus zu *ὁ δὲ μήπω γνώριμος*, as den Them. gleichfalls als noch igendlich denken lässt. — *ὑπάρ-οντα* hinreichende Mittel. — *ροσωφλίσκανεν*, *πρὸς τῷ οὐκ ρέσκειν*. — *ἐνίκησε*, sein Sieg als horeg wird gleichfalls als Beweis iner *φιλοτιμία* angeführt; die horegen hatten das Personal des hors zu stellen, für den Unterricht irch einen *χοροδιδάσκαλος*, u. für nterhalt, Kleidung, Schmuck und old zu sorgen. Deshalb war diese aatsleistung (*λειτουργία*) sehr ostbar. — *πίνακα*, auf Tafeln urden in der hier vorliegenden eise die Namen der im Wett-mpf siegreichen Dichter, des horegen, des Archon und oft der rzüglichsten Schauspieler ver-ichnet und öffentlich aufgestellt, rnehmlich im Tempel des Diony-s. — *ἐδίδασκε docebat*, vom Dichter der sein Stück selbst einlehrte (zur Aufführung brachte). — Phrynichus von Athen Vorgänger des Aeschylus blühete um 500; nur Vermuthung, aber sehr ansprechende, ist es, dass das hier gemeinte Stück die *Φοίνισσαι* gewesen seien, eine Verherrlichung des Sieges über die Perser. — *ἦρχεν* Ol. 76, 1 = 476.

4. *ἐνήρμοττε* = *ἤρεσκε*. — *τοῦτο μέν* — *τοῦτο δέ*, in Rücksicht auf dies und auf das = theils, theils. — *ἀπὸ στόματος*, denn das schmeichelt der Eigenliebe des gemeinen Mannes, Cic. pro Mur. 36, 77: *nomine appellari abs te cives tuos honestum est.* — *τὰ συμβόλαια* Rechtsstreitigkeiten im Privatverkehr, besonders wegen Verletzung von Verträgen. — *τῶν οὐ μετρίων*, dem Simonides ward *φιλαργυρία* allgemein vorgeworfen.

αὐτοῦ στρατηγοῦντος, ὡς οὔτ' ἐκεῖνος ἂν ἐγένετο ποιητὴς ἀγαθὸς ᾄδων παρὰ μέλος οὔτ' αὐτὸς ἀστεῖος ἄρχων παρὰ νόμον χαριζόμενος. πάλιν δέ ποτε τὸν Σιμωνίδην ἐπισκώπτων ἔλεγε νοῦν οὐκ ἔχειν, Κορινθίους μὲν λοιδοροῦντα μεγάλην οἰκοῦντας πόλιν, αὑτοῦ δὲ ποιούμενον εἰκόνας οὕτως ὄντος αἰσχροῦ τὴν ὄψιν. αὐξόμενος δὲ καὶ τοῖς πολλοῖς ἀρέσκων τέλος κατεστασίασε καὶ μετέστησεν ἐξοστρακισθέντα τὸν Ἀριστείδην.

**6.** ἤδη δὲ τοῦ Μήδου καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα καὶ τῶν Ἀθηναίων βουλευομένων περὶ στρατηγοῦ τοὺς μὲν ἄλλους ἑκόντας ἐκστῆναι τῆς στρατηγίας λέγουσιν ἐκπεπληγμένους τὸν κίνδυνον, Ἐπικύδην δὲ τὸν Εὐφημίδου, δημαγωγὸν ὄντα δεινὸν μὲν εἰπεῖν, μαλακὸν δὲ τὴν ψυχὴν καὶ χρημάτων ἥττονα τῆς ἀρχῆς ἐφίεσθαι καὶ κρατήσειν ἐπίδοξον εἶναι τῇ χειροτονίᾳ. τὸν οὖν Θεμιστοκλέα δείσαντα, μὴ τὰ πράγματα διαφθαρείη παντάπασι τῆς ἡγεμονίας εἰς ἐκεῖνον ἐμπεσούσης, χρήμασι τὴν φιλοτιμίαν ἐξωνήσασθαι
2 παρὰ τοῦ Ἐπικύδους. ἐπαινεῖται δ' αὐτοῦ καὶ τὸ περὶ τὸν δίγλωττον ἔργον ἐν τοῖς πεμφθεῖσιν ὑπὸ βασιλέως ἐπὶ γῆς καὶ ὕδατος αἴτησιν. ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψη-

— ᾄδων = εἰ ᾔδειν. — ποιούμενον verfertigen lassend, s. 30, 1. — κατεστασίασε besiegte durch seine Partei: der hemmende Gegensatz, den die konservative Politik des Aristides zu der des Them. bildete, ward die Veranlassung seines Sturzes, nicht, wie spätere Schriftsteller es darstellen, seine Gerechtigkeit. — μετέστησεν s. z. Arist. 7, 27; über die Zeit unten c. 11.

**6.** 1. τοῦ Μήδου, nicht (kollective) Bezeichnung des Volks, sondern des Königs als Repräsentanten seines Volks; so oft ὁ Πέρσης, ὁ Ἰνδός.—ἐκστῆναι τῆς στρατηγίας abstehen von der Bewerbung um —. χρημάτων ἥττων, das Gegentheil χρ. κρείττων Pericl. 15. — ἐπίδοξον ist mascul., s. z. Ag. 13, 4.

2. ἐν τοῖς —, der sich befand unter —: die Erzählung streitet gegen die geschichtliche Wahrheit. — γῆς καὶ ὕδατος, *denuntiabant eo modo, ut populum, urbes, agros regionemque in ditionem darent seseque in totum eorum nutui et ditioni subiicerent: alioquin, ni imperata facerent, sese eos ad internecionem usque bello persecuturos minabantur*, Brissonius de regno Pers. p. 311. — ἑρμηνέα ὄντα obgleich er Herold war und als solcher unverletzlich. — διὰ ψηφίσματος vermittelst eines von ihm veranlassten Beschlusses. — Arthmius aus Zelea in Mysien kam mit persischem Golde nach dem Peleponnes zur Bestechung der Lacedämonier. Auch diese öfter von den Rednern erwähnte Begebenheit

φίσματος ἀπέκτεινεν ὅτι φωνὴν Ἑλληνίδα βαρβάροις προστάγμασιν ἐτόλμησε χρῆσαι. ἔτι δὲ καὶ τὸ περὶ Ἄρθμιον τὸν Ζελείτην· Θεμιστοκλέους γὰρ εἰπόντος καὶ τοῦτον εἰς τοὺς ἀτίμους καὶ παῖδας αὐτοῦ καὶ γένος ἔγραψαν ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς τοὺς Ἕλληνας ἐκόμισε. μέγιστον δὲ πάντων τὸ καταλῦσαι τοὺς Ἑλληνικοὺς πολέμους καὶ διαλλάξαι τὰς πόλεις ἀλλήλαις πείσαντα τὰς ἔχθρας διὰ τὸν πόλεμον ἀναβαλέσθαι· πρὸς ὃ καὶ Χείλεων τὸν Ἀρκάδα μάλιστα συναγωνίσασθαι λέγουσι.

7. παραλαβὼν δὲ τὴν ἀρχὴν εὐθὺς μὲν ἐπεχείρει τοὺς πολίτας ἐμβιβάζειν εἰς τὰς τριήρεις, καὶ τὴν πόλιν ἔπεισεν ἐκλιπόντας ὡς προσωτάτω τῆς Ἑλλάδος ἀπαντᾶν τῷ βαρβάρῳ κατὰ θάλατταν. ἐνισταμένων δὲ πολλῶν ἐξήγαγε πολλὴν στρατιὰν εἰς τὰ Τέμπη μετὰ Λακεδαιμονίων, ὡς αὐτόθι προκινδυνευσόντων τῆς Θετταλίας οὔπω τότε μηδίζειν δοκούσης· ἐπεὶ δ' ἀνεχώρησαν ἐκεῖθεν ἄπρακτοι καὶ Θετταλῶν βασιλεῖ προσγενομένων ἐμήδιζε τὰ μέχρι Βοιωτίας, μᾶλλον ἤδη τῷ Θεμιστοκλεῖ προσεῖχον οἱ Ἀθηναῖοι περὶ τῆς θαλάσσης καὶ πέμπεται μετὰ νεῶν ἐπ' Ἀρτεμίσιον τὰ στενὰ φυλάξων. ἔνθα δὴ τῶν μὲν Ἑλλήνων 2

führt nur Plut. auf Themistokles zurück. — *εἰπόντος* in der Versammlung anrieth. — *καὶ τοῦτον, καί* bezieht sich nicht auf Gleichheit der Strafe, sondern darauf, dass auch er, wie der *ἑρμηνεύς*, mit einer Strafe auf den Antrag des Them. belegt worden sei. — *ἀτίμους*, Atimie und Epitimie können im eigentlichen Sinne nach attischen Gesetzen nur von wirklich attischen Bürgern gebraucht werden; ein solcher war aber Arthmius nicht, vielmehr wie Demosthenes Philipp. 3, 43 sagt *δοῦλος βασιλέως, ἡ γὰρ Ζέλεια ἐστι τῆς Ἀσίας*: deshalb ist es hier als Bezeichnung solcher zu nehmen, die für vogelfrei und jedes rechtlichen Schutzes verlustig erklärt wurden, so dass, wie Demosth. a. a. O. erläutert, *καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι.* — *παῖδας καὶ γένος*, die Auslassung des Art. vor *γένος* in dieser Formel ist regelmässig. — *τὸν ἐκ Μήδων = τὸν Μήδων ἐκ M.* — *Ἑλληνικοὺς πολέμους* geht hauptsächlich auf die Streitigkeiten zwischen Athen und Aegina, Herod. 7, 145, der den Them. hierbei nicht nennt.

7. 1. *ἐπεχείρει* wiederholte und dauernde, *ἔπεισε* einzelne und vorübergehende Handlung. — *Τέμπη, ἐς τὴν ἐσβολήν, ἥπερ ἀπὸ Μακεδονίης τῆς κάτω ἐς Θεσσαλίην φέρει παρὰ Πηνειὸν ποταμόν, μεταξὺ δὲ Ὀλύμπου τε οὔρεος ἐόντα καὶ τῆς Ὄσσης*, Herod. 7, 173. — *Ἀρτεμίσιον*, s. c. 8.

2. *τῶν Ἑλλήνων*, die Hellenen mit Ausschluss der Athener, s. z.

Εὐρυβιάδην καὶ Λακεδαιμονίους ἡγεῖσθαι κελευόντων, τῶν δ' Ἀθηναίων, ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ Θεμιστοκλῆς αὐτός τε τὴν ἀρχὴν τῷ Εὐρυβιάδῃ παρῆκε καὶ κατεπράυνε τοὺς Ἀθηναίους ὑπισχνούμενος, ἂν ἄνδρες ἀγαθοὶ γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς Ἕλληνας. διόπερ δοκεῖ τῆς σωτηρίας αἰτιώτατος γενέσθαι τῇ Ἑλλάδι καὶ μάλιστα τοὺς Ἀθηναίους προαγαγεῖν εἰς δόξαν, ὡς ἀνδρείᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ
3 δὲ τῶν συμμάχων περιγενομένους. ἐπεὶ δὲ ταῖς Ἀφέταις τοῦ βαρβαρικοῦ στόλου προσμίξαντος ἐκπλαγεὶς ὁ Εὐρυβιάδης τῶν κατὰ στόμα νεῶν τὸ πλῆθος, ἄλλας δὲ πυνθανόμενος διακοσίας ὑπὲρ Σκιάθου περιπλεῖν ἐβούλετο τὴν ταχίστην εἴσω τῆς Ἑλλάδος κομισθεὶς ἄψασθαι Πελοποννήσου καὶ τὸν πεζὸν στρατὸν ταῖς ναυσὶ προσπεριβαλέσθαι, παντάπασιν ἀπρόσμαχον ἡγούμενος τὴν κατὰ θάλατταν ἀλκὴν βασιλέως, δείσαντες οἱ Εὐβοεῖς, μὴ σφᾶς οἱ Ἕλληνες πρόωνται, κρύφα τῷ Θεμιστοκλεῖ διελέγοντο Πελάγοντα μετὰ χρημάτων πολλῶν πέμψαντες, ἃ λαβὼν ἐκεῖνος, ὡς Ἡρόδοτος ἱστόρηκε, τοῖς περὶ τὸν Εὐρυβιάδην ἔδωκεν.
4 ἐναντιουμένου δ' αὐτῷ μάλιστα τῶν πολιτῶν Ἀρχιτέλους, ὃς ἦν μὲν ἐπὶ τῆς ἱερᾶς νεὼς τριήραρχος, οὐκ ἔχων δὲ χρήματα τοῖς ναύταις χορηγεῖν ἔσπευδεν ἀποπλεῦσαι, παρώ-

Ag. 14, 2. — καὶ Λακεδαιμονίων fügt dem Theil das Ganze bei; über den Grund der Forderung z. c. 11. — πλήθει τῶν νεῶν z. c. 11. — οὐκ ἀξιούντων für ungebührlich hielten. — παρέξειν er werde ihnen die Griechen übergeben als —. εἰς δόξαν —, ein von spätern Rednern zum Preis Athens vielfach ausgebeuteter locus, z. B. ἀμφοτέρας τὰς νίκας ἀνείλοντο σαφέστατα· τοὺς μὲν γὰρ ἐχθροὺς τοῖς ὅπλοις, τῇ δ' ἐπιεικείᾳ τοὺς φίλους ἐνίκησαν, Aristides Panathen. 1.

3. Ἀφέταις, Küstenort Thessaliens am pagasäischen Meerbusen. Σκιάθος Insel des ägäischen Meeres. — πρόωνται, vom Standpunkt des Schriftstellers, nicht aus der Seele der Euböenser (Optat.). — χρημάτων πολλῶν, 30 Talente giebt Herod. 8, 4 an, diese erhielt Euryb. (οἱ περὶ Εὐρυβιάδην) nicht sämmtlich, sondern nur 5 Talente.

4. ἱερᾶς νεώς die Σαλαμινία, eines der beiden (Πάραλος) Staatsschiffe zum öffentlichen Dienst; ἱερά weil es zu Theorien, besonders nach Delos, gebraucht ward. — ἔτι μᾶλλον, denn sie waren

ξυνεν ἔτι μᾶλλον ὁ Θεμιστοκλῆς τοὺς πολίτας ἐπ᾽ αὐτὸν, ὥστε τὸ δεῖπνον ἁρπάσαι συνδραμόντας. τοῦ δ᾽ Ἀρχιτέλους ἀθυμοῦντος ἐπὶ τούτῳ καὶ βαρέως φέροντος εἰσέπεμψεν ὁ Θεμιστοκλῆς πρὸς αὐτὸν ἐν κίστῃ δεῖπνον. ἄρτων καὶ κρεῶν ὑποθεὶς κάτω τάλαντον ἀργυρίου καὶ κελεύσας αὐτόν τε δειπνεῖν ἐν τῷ παρόντι καὶ μεθ᾽ ἡμέραν ἐπιμεληθῆναι τῶν τριηριτῶν· εἰ δὲ μὴ, καταβοήσειν αὐτοῦ πρὸς τοὺς πολίτας, ὡς ἔχοντος ἀργύριον παρὰ τῶν πολεμίων. ταῦτα μὲν οὖν Φανίας ὁ Λέσβιος εἴρηκεν.

8. αἱ δὲ γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς περὶ τὰ στενὰ μάχαι κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην οὐκ ἐποίησαν, τῇ δὲ πείρᾳ μέγιστα τοὺς Ἕλληνας ὤνησαν, ὑπὸ τῶν ἔργων παρὰ τοὺς κινδύνους διδαχθέντας, ὡς οὔτε πλήθη νεῶν οὔτε κόσμοι καὶ λαμπρότητες ἐπισήμων οὔτε ἀλαλαγαὶ κομπώδεις ἢ βάρβαροι παιᾶνες ἔχουσί τι δεινὸν δρᾶσιν ἐπισταμένοις εἰς χεῖρας ἰέναι καὶ μάχεσθαι τολμῶσιν, ἀλλὰ δεῖ τῶν τοιούτων καταφρονοῦντας ἐπ᾽ αὐτὰ σώματα φέρεσθαι καὶ πρὸς ἐκεῖνα διαγωνίζεσθαι συμπλακέντας. ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν 2 περὶ τῆς ἐν Ἀρτεμισίῳ μάχης εἰπεῖν

ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν
κρηπῖδ᾽ ἐλευθερίας·

ἡ γὰρ ὄντως τοῦ νικᾶν τὸ θαρρεῖν. ἔστι δὲ τῆς Εὐβοίας Ἀρτεμίσιον ὑπὲρ τὴν Ἑστίαιαν αἰγιαλὸς εἰς βορέαν

1 vorher wegen nicht erhaltner ung erbittert. — *πολίτας* ist ihrt, Plutarch schrieb gewiss *ίτας*.

1. *αἱ μάχαι*, beschrieben von l. 8, 6 ff. — *τὰ στενά*, bei nisium. — *ὑπὸ τῶν ἔργων* —, raktische Erfahrung im ernst- Kampf wird im Gegensatz zu loser Uebung Gewicht gelegt; iselben Sinne Thucyd. 1, 18: *ρότεροι ἐγένοντο μετὰ κινδύνου τὰς μελέτας ποιούμενοι*, cit. dialog. 34: *studere inter ipsa discrimina*. — *ἐπίσημα* und *παράσημα* die die einzelnen Schiffe schmückenden und auszeichnenden Sinnbilder, wie es scheint bald am Vorder- bald am Hintertheile; nach ihnen wurden die Schiffe benannt. Ueber den Gedanken vgl. Aeschyl. Sept. c. Theb. 382: *κόσμον μὲν ἀνδρὸς οὔτιν᾽ ἂν τρέσαιμ᾽ ἐγώ, οὐδ᾽ ἑλκοποιὰ γίνεται τὰ σήματα*.

2. *ἐν Ἀρτεμισίῳ*, wie bei *ἡ ἐν Σαλαμῖνι μάχη* wird das angrenzende Meer als dem genannten Ort zugehöriger Theil gedacht. — *ὅθι* = *οὗ*. — *ὄντως* begründet die Be-

ἀναπεπταμένος, ἀντιτείνει δ' αὐτῷ μάλιστα τῆς ὑπὸ Φιλοκτήτῃ γενομένης χώρας Ὀλιζών. ἔχει δὲ ναὸν οὐ μέγαν Ἀρτέμιδος ἐπίκλησιν Προσηώας, καὶ δένδρα περὶ αὐτῷ πέφυκε καὶ στῆλαι κύκλῳ λίθου λευκοῦ πεπήγασιν· ὁ δὲ λίθος τῇ χειρὶ τριβόμενος καὶ χρόαν καὶ ὀσμὴν κροκίζουσαν ἀναδίδωσιν. ἐν μιᾷ δὲ τῶν στηλῶν ἐλεγεῖον ἦν τόδε γεγραμμένον·

παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

δείκνυται δὲ τῆς ἀκτῆς τόπος ἐν πολλῇ τῇ πέριξ θινὶ κόνιν τεφρώδη καὶ μέλαιναν ἐκ βάθους ἀναδιδούς, ὥσπερ πυρίκαυστον, ἐν ᾧ τὰ ναυάγια καὶ νεκροὺς καῦσαι δοκοῦσι.

9. τῶν μέντοι περὶ Θερμοπύλας εἰς τὸ Ἀρτεμίσιον ἀπαγγελθέντων πυθόμενοι Λεωνίδαν τε κεῖσθαι καὶ κρατεῖν Ξέρξην τῶν κατὰ γῆν παρόδων εἴσω τῆς Ἑλλάδος ἀνεκομίζοντο, τῶν Ἀθηναίων ἐπὶ πᾶσι τεταγμένων δι' ἀρετὴν καὶ μέγα τοῖς πεπραγμένοις φρονούντων. παραπλέων δὲ τὴν χώραν ὁ Θεμιστοκλῆς ἦπερ κατάρσεις ἀναγκαίας καὶ καταφυγὰς ἑώρα τοῖς πολεμίοις ἐνεχάραττε κατὰ τῶν λίθων ἐπιφανῆ γράμματα, τοὺς μὲν εὑρίσκων ἀπὸ τύχης, τοὺς δ' αὐτὸς ἱστὰς περὶ τὰ ναύλοχα καὶ τὰς ὑδρείας, ἐπι-

lobung des Pindarischen Bildes: wie für den Bau die Grundlage, ist für den Sieg erste Bedingung Muth und Vertrauen. — Ὀλιζών Küstenstadt der thessalischen Landschaft Magnesia, als Theil des Gebiets des Philoktet schon von Homer Il. 2, 717 genannt. — νεκρούς ohne Artikel in dieser Verbindung auch bei Thucyd. 1, 54: τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο.

9. 1. κεῖσθαι, mit derselben Prägnanz im Latein. iacere. — ἐπὶ πᾶσι, Herod. 8, 21: ἐκομίζοντο ὡς ἕκαστοι ἐτάχθησαν, Κορίνθιοι πρῶτοι. ὕστατοι δὲ Ἀθηναῖοι. — ἀναγκαίας, zur Einnahme von Wasser und Lebensmitteln. — τῶν λίθων, der Artikel anticipirt die durch den Zusatz τοὺς μέν — gegebne nähere Bestimmung = κατὰ τῶν λίθων, οὓς εὕρισκε καὶ οὕς. — Die Inschrift s. bei Herod. 8, 22; die Absicht des Them. ging nur unvollkommen bei Salamis in Erfüllung, ἐξελοκάκεον μέντοι αὐτῶν (τῶν Ἰώνων) κατὰ τὰς Θεμιστοκλέους ἐντολὰς ὀλίγοι, οἱ δὲ πλεῦνες οὔ. — πατέρας Stammväter.

2. πυρπολοῦντος, Herod. 8, 32:

σκήπτων Ἴωσι διὰ τῶν γραμμάτων, εἰ μὲν οἷόν τε, μετατάξασθαι πρὸς αὐτούς, πατέρας ὄντας καὶ προκινδυνεύοντας ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας, εἰ δὲ μή, κακοῦν τὸ βαρβαρικὸν ἐν ταῖς μάχαις καὶ συνταράττειν. ταῦτα δ' ἤλπιζεν ἢ μεταστήσειν τοὺς Ἴωνας ἢ ταράξειν ὑποπτοτέρους τοῖς βαρβάροις γενομένους. Ξέρξου δὲ διὰ τῆς Δωρίδος ἄνωθεν 2 ἐμβαλόντος εἰς τὴν Φωκίδα καὶ τὰ τῶν Φωκέων ἄστη πυρτολοῦντος οὐ προσήμυναν οἱ Ἕλληνες, καίπερ τῶν Ἀθηναίων δεομένων εἰς τὴν Βοιωτίαν ἀπαντῆσαι πρὸ τῆς Ἀττικῆς, ὥσπερ αὐτοὶ κατὰ θάλατταν ἐπ' Ἀρτεμίσιον βοήθησαν. μηδενὸς δ' ὑπακούοντος αὐτοῖς, ἀλλὰ τῆς Πελοποννήσου περιεχομένων καὶ πᾶσαν ἐντὸς Ἰσθμοῦ τὴν δύναμιν ὡρμημένων συνάγειν καὶ διατειχιζόντων τὸν Ἰσθμὸν ἐς θάλατταν ἐκ θαλάττης, ἅμα μὲν ὀργὴ τῆς προδοσίας ἔχε τοὺς Ἀθηναίους, ἅμα δὲ δυσθυμία καὶ κατήφεια μενωμένους· μάχεσθαι μὲν γὰρ οὐ διενοοῦντο μυριάσι 3 ραιτοῦ τοσαύταις· ὃ δ' ἦν μόνον ἀναγκαῖον ἐν τῷ παντι, τὴν πόλιν ἀφέντας ἐμφῦναι ταῖς ναυσίν [ὅπερ] οἱ λλοὶ χαλεπῶς ἤκουον, ὡς μήτε νίκης δεόμενοι μήτε σωρίαν ἐπιστάμενοι θεῶν τε ἱερὰ καὶ πατέρων ἡρία προϊενων.

**10.** ἔνθα δὴ Θεμιστοκλῆς ἀπορῶν τοῖς ἀνθρωπίνοις νισμοῖς προσάγεσθαι τὸ πλῆθος, ὥσπερ ἐν τραγῳδίᾳ ανὴν ἄρας, σημεῖα δαιμόνια καὶ χρησμοὺς ἐπῆγεν αὐ-

ἐ βάρβαροι τὴν χώραν πᾶσαν ῥαιμον τὴν Φωκίδα· — ὁκόσα τέσχον, πάντα ἐπέφλεγον καὶ ς πόλεις ἐνιέντες πῦρ καὶ ἐς ερά. — μηδενὸς st. οὐδενός g bei Plut. in Participialverngen jeder Art. — πέριεχον, aus μηδενὸς schwebte πάνvor; denn was Niemand thut, lassen Alle. Fab. Max. 11: ὃς ἐν χώρᾳ μένειν τολμῶν· ἀλλὰ πρὸς φυγὴν ὠθουμέauch im Latein. nicht selten. ατειχιζόντων, vom saronibis zum korinthischen Meerbusen. — μεμονωμένους weil sie verlassen waren: das vorhergehende προδοσίας liess als gleichmässige Fortsetzung μονώσεως erwarten.

**10.** 1. τοῖς durch die bisher von ihm angewandten. — προσάγεσθαι zu seiner Ansicht bringen. — ὥσπερ — d. h. wie man in der Tragödie mit Hülfe der Theatermaschine zur Lösung des Knotens einen Gott auftreten lässt (*deus ex machina*), vgl. c. 32. — ἐπῆγεν tropisch wie Crass. 30: ἐπῆγε τῷ Κράσσῳ δόλον, eigentlich vom Her-

τοῖς· σημεῖον μὲν λαμβάνων τὸ τοῦ δράκοντος, ὃς ἀφανὴς ἐκείναις ταῖς ἡμέραις ἐκ τοῦ σηκοῦ δοκεῖ γενέσθαι· καὶ τὰς καθ' ἡμέραν αὐτῷ προτιθεμένας ἀπαρχὰς εὑρίσκοντες ἀψαύστους οἱ ἱερεῖς, ἐξήγγελλον εἰς τοὺς πολλοὺς, τοῦ Θεμιστοκλέους λόγον διδόντος, ὡς ἀπολέλοιπε τὴν πόλιν ἡ
2 θεὸς ὑφηγουμένη πρὸς τὴν θάλατταν αὐτοῖς. τῷ δὲ χρησμῷ πάλιν ἐδημαγώγει, λέγων μηδὲν ἄλλο δηλοῦσθαι ξύλινον τεῖχος ἢ τὰς ναῦς· διὸ καὶ τὴν Σαλαμῖνα θείαν, οὐχὶ δεινὴν οὐδὲ σχετλίαν καλεῖν τὸν θεὸν, ὡς εὐτυχήματος μεγάλου τοῖς Ἕλλησιν ἐπώνυμον ἐσομένην. κρατήσας δὲ τῇ γνώμῃ ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηνάων μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ
3 γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαστον ὡς δυνατόν. κυρωθέντος δὲ τοῦ ψηφίσματος οἱ πλεῖστοι τῶν Ἀθηναίων ὑπεξέθεντο γονέας καὶ γυναῖκας εἰς Τροιζῆνα, φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων· καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ, δύο ὀβολοὺς ἑκάστῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν τοὺς παῖδας ἐξεῖναι πανταχόθεν, ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μισθούς. τὸ δὲ ψήφισμα

anrücken der Belagerungsmaschinen, Marcell. 15: ἦν δὲ ἀπὸ τοῦ ζεύγματος ἐπῆγε μηχανήν. — τὸ τοῦ δράκοντος den Vorfall mit —, Herod. 8, 41: λέγουσι οἱ Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτέεσθαι ἐν τῷ ἱρῷ. λέγουσί τε ταῦτα καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμήνια ἐπιτελέουσι προτιθέντες· τὰ δ' ἐπιμήνια μελιτόεσσά ἐστι· αὕτη δ' ἡ μελιτόεσσα ἐν τῷ πρόσθεν αἰεὶ χρόνῳ ἀναισιμουμένη τότε ἦν ἄψαυστος· σημηνάσης δὲ ταῦτα τῆς ἱερείης μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν, ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν. — ἐξήγγελλον meldeten es. — λόγον die Deutung der Erscheinung.

2. ἐδημαγώγει suchte nach seinem Willen zu lenken, πάλιν, wie er schon vorher diese Massregel empfohlen hatte. Der Orakelspruch vollständig bei Herodot 7, 141, die bezüglichen Worte sind: τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς μοῦνον ἀπόρθητον τελέθειν. τὸ σὲ τέκνα τ' ὀνήσει. — θείαν, das Orakel: ὦ θεία Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν. — κρατήσας nachdem er obgesiegt, seine Meinung durchgegangen war. — ψήφισμα γράφειν einen schriftlichen Vorschlag zur Bestätigung (κυροῦν) einbringen. — παρακαταθέσθαι stehend von dem, was zum Schutz oder als Unterpfand anvertraut wird. — τῇ Ἀθηνάων μεδεούσῃ, offenbar Ausgang eines Hexameters, den das ψήφισμα als Formel nicht bedeutungslos beibehielt; dafür spricht auch das alter-

Νικαγόρας ἔγραψεν. οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων ἰδιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις· Κλεί- 4
δημος δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται στρατήγημα. καταβαινόντων γὰρ εἰς Πειραιᾶ τῶν Ἀθηναίων φημὶν ἀπολέσθαι τὸ Γοργόνειον ἀπὸ τῆς θεοῦ τοῦ ἀγάλματος· ὧν οὖν Θεμιστοκλέα προσποιούμενον ζητεῖν καὶ διερευνώμενον ἅπαντα χρημάτων ἀνευρίσκειν πλῆθος ἐν ταῖς ἀποσκευαῖς ἀποκεκρυμμένον· ὧν εἰς μέσον κομισθέντων εὐπορῆσαι τοὺς ἐμβαίνοντας εἰς τὰς ναῦς ἐφοδίων. ἐκπλεούσης τῆς πόλεως τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα καὶ τόλμης παρεῖχε, γενεὰς μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων καὶ περιλειπομένων διαπερώντων εἰς τὴν νῆσον. καίτοι πολλοὶ μὲν διὰ γῆρας ὑπολειπόμενοι τῶν πολιτῶν ἔλεον εἶχον· ἦν δέ τις ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζῴων ἐπικλῶσα γλυκυμία μετ' ὠργῆς καὶ πόθου συμπαραθεόντων ἐμνουσι τοῖς ἑαυτῶν τροφεῦσιν. ἐν οἷς ἱστορεῖται κύων Ξάνθιππου τοῦ Περικλέους πατρὸς οὐκ ἀνασχόμενος

liche *μεδεούσῃ*. — *τοὺς ἐν ἡλι-* ie waffenfähige Mannschaft. *οἱ πλεῖστοι*, einige schafften hrigen nach Aegina, andere Salamis, Herod. 8, 41. — *θεντο* stehend von denen, s Ihrige in sichern Verwahringen. — Trözen Stadt an iste von Argos. — *διδόντες*, . — *ἐξεῖναι* abhängig von *σαντο*. — *τὴν ἐξ Ἀρείου πά-*, dem aus den 9 jährlichen ten nach unsträflicher Amtsg als lebenslänglichen Mitn gebildeten Gerichtshof des g lag im Allgemeinen die Obr die Gesetze und ihre Aus- ob: nach dieser Stelle er auch mit den Finanzen gehabt haben, wenn nicht muthung glaublicher wäre, dass es sich hier um einen ganz ausserordentlichen Fall, vielleicht um eine Bewilligung aus Tempelschätzen (C. Fr. Hermann de iure magistr. S. 48) handle. Denn ausdrücklich war vorher gesagt worden, dass es an öffentlichen Geldern gefehlt habe.

4. *ποιεῖται* stellt dar, macht zu —, das Med. bezeichnet diese Darstellung als eine dem Klidemus eigenthümliche, Mar. 1: *τούτῳ τῷ λόγῳ· πάλιν αὐτὸς ἀνωνύμους ποιεῖται τὰς γυναῖκας*. — *Γοργόνειον* das Gorgonenhaupt auf dem Schilde der Pallas. — *ἐν ταῖς ἀποσκευαῖς* unter dem alten Geräth. — *τόλμης* Standhaftigkeit. — *γενεάς* Weib und Kind. — *γονέων* die in der Stadt zurückbleibende Alten. — *εἶχον*, wir: erregten.

τὴν ἀπ᾽ αὐτοῦ μόνωσιν ἐναλέσθαι τῇ θαλάττῃ καὶ τῇ τριήρει παρανηχόμενος ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα καὶ λειποθυμήσας ἀποθανεῖν εὐθύς· οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον Κυνὸς σῆμα τάφον εἶναι λέγουσι.

11. ταῦτά τε δὴ μεγάλα τοῦ Θεμιστοκλέους καὶ τοὺς πολίτας αἰσθόμενος ποθοῦντας Ἀριστείδην καὶ δεδιότας, μὴ δι᾽ ὀργὴν τῷ βαρβάρῳ προσθεὶς ἑαυτὸν ἀνατρέψῃ τὰ πράγματα τῆς Ἑλλάδος (ἐξωστράκιστο γὰρ πρὸ τοῦ πολέμου καταστασιασθεὶς ὑπὸ Θεμιστοκλέους), γράφει ψήφισμα, τοῖς ἐπὶ χρόνῳ μεθεστῶσιν ἐξεῖναι κατελθοῦσι πράττειν καὶ λέγειν τὰ βέλτιστα τῇ Ἑλλάδι μετὰ τῶν ἄλ-
2 λων πολιτῶν. Εὐρυβιάδου δὲ τὴν μὲν ἡγεμονίαν τῶν νεῶν ἔχοντος διὰ τὸ τῆς Σπάρτης ἀξίωμα, μαλακοῦ δὲ περὶ τὸν κίνδυνον ὄντος, αἴρειν δὲ βουλομένου καὶ πλεῖν ἐπὶ τὸν Ἰσθμόν, ὅπου καὶ τὸ πεζὸν ἠθροιστο τῶν Πελοποννησίων, ὁ Θεμιστοκλῆς ἀντέλεγεν· ὅτε καὶ τὰ μνημονευόμενα λεχθῆναί φασι. τοῦ γὰρ Εὐρυβιάδου πρὸς αὐτὸν εἰπόντος·

11. 1. ταῦτά τε, die vorhererzählten Thaten des Themist.; diesem Anfang entsprechend hätte eigentlich folgen sollen καὶ ὅτι τοὺς π. oder τὸ αἰσθέσθαι, wofür eine selbständige Konstruktion gewählt ist. — δεδιότας, man fürchtete seinen Einfluss μὴ προσθέμενος τοῖς πολεμίοις διαφθείρῃ καὶ μεταστήσῃ πολλοὺς τῶν πολιτῶν πρὸς τὸν βάρβαρον, Aristid. 8. — ἐξωστράκιστο, nach Plut. Arist. 8 ward Arist. vertrieben Ol. 74, 4, nach Nepos fällt seine Entfernung Ol. 73, 4., seine Rückberufung Ol. 75, 1. — ἐπὶ χρόνῳ auf eine Zeit lang, auf 10 Jahre. — κατέρχεσθαι, κατιέναι stehend von der Rückkehr Verbannter, κατάγειν von denen, die sie veranlassen.

2. Σπάρτης ἀξίωμα, οἱ Λακεδαιμόνιοι ξυμπολεμησάντων Ἑλλήνων ἡγήσαντο δυνάμει προέχοντες, Thuc. 1, 18; darum erwiederten die Spartaner, als Alexander den Oberbefehl gegen die Perser verlangte: μὴ εἶναι σφίσι πάτριον ἀκολουθεῖν ἄλλοις, ἀλλ᾽ αὐτοὺς ἄλλων ἐξηγεῖσθαι, Arrian Anab. 1. 1. — περὶ τὸν κίνδυνον, wenn es zum Schlagen kommen sollte (Jacobs). — αἴρειν, τὰς ἀγκύρας. — δέ (nicht τε), sondern, auf den durch μαλακός negirten Begriff des Muths bezüglich, vgl. z. 27, 2. — ὅτε καί, bei welcher Gelegenheit auch (ausser anderem) —, so werden bei Plut. häufig gelegentliche Aeusserungen und Nebenumstände eingeführt. — γάρ nämlich. — εἰπόντος, die nähern Umstände giebt Herodot 8, 59 so an: ὡς δὲ ἄρα συνελέχθησαν (οἱ ἡγεμόνες), πρὶν ἢ τὸν Εὐρυβιάδην προθεῖναι τὸν λόγον τῶν εἵνεκα συνήγαγε τοὺς στρατηγούς, πολὺς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι, οἷα κάρτα δεόμενος· λέγοντος δὲ αὐτοῦ ὁ

„Ὦ Θεμιστόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζουσι“ „Ναί“ εἶπεν ὁ Θεμιστοκλῆς „ἀλλὰ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν.“ ἐπαραμένου δὲ τὴν βακτη- 3
ρίαν ὡς πατάξοντος, ὁ Θεμιστοκλῆς ἔφη· „Πάταξον μέν, ἄκουσον δέ.“ Θαυμάσαντος δὲ τὴν πραότητα τοῦ Εὐρυβιάδου καὶ λέγειν κελεύσαντος, ὁ μὲν Θεμιστοκλῆς ἀνῆγεν αὐτὸν ἐπὶ τὸν λόγον. εἰπόντος δέ τινος, ὡς ἀνὴρ ἄπολις οὐκ ὀρθῶς διδάσκει τοὺς ἔχοντας ἐγκαταλείπειν καὶ προσθαι τὰς πατρίδας, ὁ Θεμιστοκλῆς ἐπιστρέψας τὸν λόγον· Ἡμεῖς τοι“ εἶπεν „ὦ μοχθηρέ, τὰς μὲν οἰκίας καὶ τὰ εἴχη καταλελοίπαμεν οὐκ ἀξιοῦντες ἀψύχων ἕνεκα δουεύειν, πόλις δ᾽ ἡμῖν ἐστι μεγίστη τῶν Ἑλληνίδων αἱ διαισιαι τριήρεις, αἳ νῦν μὲν ὑμῖν παρεστᾶσι βοηθοὶ σώζεαι δι᾽ αὐτῶν βουλομένοις. εἰ δ᾽ ἄπιτε δεύτερον ἡμᾶς 4
οδόντες, αὐτίκα πεύσεταί τις Ἑλλήνων Ἀθηναίους καὶ λιν ἐλευθέραν καὶ χώραν οὐ χείρονα κεκτημένους ἧς ἀπέλον.“ ταῦτα τοῦ Θεμιστοκλέους εἰπόντος ἔννοια καὶ ς ἔσχε τὸν Εὐρυβιάδην τῶν Ἀθηναίων, μὴ σφᾶς ἀπο-

ρίνθιος στρατηγὸς Ἀδείμαντος εἶπε· ὦ Θεμ. κ. τ. λ. — προεξανισταμένους, vor dem bnen Zeichen. — ῥαπίζουσι, λλανοδίκαι, Kampfrichter, des oblag über die Abhaltung Kampfspiele in hergebrachter ung zu wachen, durch ihre r, die ῥαβδοῦχοι. — τοὺς ειπομένους die im Kampfe olten.

τὴν βακτηρίαν seinen , den er nach spartanischer trug. — ἐπὶ τὸν λόγον zu frühern Vorschlag. — τινός, rinthier Adimantus, Herod. 8, διδάσκει, eine Handschr. οι, vgl. 2, 3. — ἔχοντας, aus ἄπολις zu entnehmen. ταλείπειν, von nachhal- Wirkung der Handlung, αι von einer einzelnen, vorenden. — ἐπιστρέψας τ. λόγον, nach Herodots λέγων μᾶλλον ἐπεστραμμένα, 8, 62, nachdrücklich die Sprache ändernd. — τὸ ι a, fürwahr, die Versicherung bekräftigend. — ἀψύχων, *patriam municipes esse, non moenia, civitatemque non in aedificiis, sed in civibus positam*, lässt Justin 2, 12, 15 den Themist. gesagt haben.

4. δεύτερον s. 9, 2. — τις Ἑλλήνων, drohender als das direkte ὑμεῖς πεύσεσθε sein würde. Bestimmter über seine Pläne lässt ihn Herod. 8, 62 sprechen: εἰ δὲ ταῦτα μὴ ποιήσεις, ἡμεῖς μὲν ὡς ἔχομεν ἀναλαβόντες τοὺς οἰκέτας κομιεύμεθα ἐς Σίριν τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη τέ ἐστι ἐκ παλαιοῦ ἔτι, καὶ τὰ λόγια λέγει, ὑπ᾽ ἡμέων αὐτὴν δέειν κτισθῆναι· ὑμεῖς δὲ συμμάχων τοιῶνδε μουνωθέντες μεμνήσεσθε τῶν ἐμῶν λόγων. —

λείποντες οἴχονται. τοῦ δ' Ἐρετριέως πειρωμένου τι λέγειν πρὸς αὐτόν „Ἡ γὰρ" ἔφη „καὶ ὑμῖν περὶ πολέμου τίς ἐστι λόγος, οἳ καθάπερ αἱ τευθίδες μάχαιραν μὲν ἔχετε, καρδίαν δὲ οὐκ ἔχετε;"

**12.** λέγεται δ' ὑπό τινων τὸν μὲν Θεμιστοκλέα περὶ τούτων ἀπὸ τοῦ καταστρώματος ἄνωθεν τῆς νεὼς διαλέγεσθαι, γλαῦκα δ' ὀφθῆναι διαπετομένην ἀπὸ δεξιᾶς τῶν νεῶν καὶ τοῖς καρχησίοις ἐπικαθίζουσαν· διὸ δὴ καὶ μάλιστα προσέθεντο τῇ γνώμῃ καὶ παρεσκευάζοντο ναυμαχήσοντες. ἀλλ' ἐπεὶ τῶν πολεμίων ὅ τε στόλος τῇ Ἀττικῇ κατὰ τὸ Φαληρικὸν προσφερόμενος τοὺς πέριξ ἀπέκρυψεν αἰγιαλοὺς αὐτός τε βασιλεὺς μετὰ τοῦ πεζοῦ στρατοῦ καταβὰς ἐπὶ τὴν θάλατταν ἄθρους ὤφθη, τῶν δὲ δυνάμεων ὁμοῦ γενομένων ἐξερρύησαν οἱ τοῦ Θεμιστοκλέους λόγοι τῶν Ἑλλήνων καὶ πάλιν ἐπάπταινον οἱ Πελοποννήσιοι πρὸς τὸν Ἰσθμὸν, εἴ τις ἄλλο τι λέγοι χαλεπαίνοντες, ἐδόκει δὲ τῆς νυκτὸς ἀποχωρεῖν καὶ παρηγγέλλετο πλοῦς τοῖς κυβερνήταις, ἔνθα δὴ βαρέως φέρων ὁ Θεμιστοκλῆς, εἰ τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν στενῶν προέμενοι βοήθειαν οἱ Ἕλληνες διαλυθήσονται· κατὰ πόλεις, ἐβουλεύετο καὶ συνετί-
2 θει τὴν περὶ τὸν Σίκιννον πραγματείαν. ἦν δὲ τῷ μὲν γένει Πέρσης ὁ Σίκιννος, αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός. ὃν ἐκπέμπει πρὸς τὸν Ξέρξην κρύφα κελεύσας λέγειν, ὅτι Θεμιστοκλῆς ὁ τῶν

τοῦ Ἐρετριέως jener Er., die Person wird als notorische durch die verbreitete Anekdote eingeführt. — τι λέγειν (auch) etwas sagen. — τευθίδες, dieser Fisch hat, wie Aristoteles Thiergesch. 4, 1 sagt, οὐδὲν τῶν μαλακίων σπλάγχνον, τῶν δὲ ἐντὸς τῆς τε σηπίας καὶ τῆς τευθίδος δύο στερεῶν τὸ μὲν καλεῖται σήπιον, τὸ δὲ ξίφος.

**12.** 1. τὸν μὲν — γλαῦκα δέ, Gleichzeitigkeit beider Umstände, häufiger bezeichnet durch τε — καί. ἀπὸ δεξιᾶς, also ein ὄρνις δεξιός, glückverkündend, wie bei den Griechen alle von rechts kommende Zeichen, vgl. 13, 2. — διό, durch das Zeichen ermuthigt, schol. Aristoph. equitt. 1102: γλαὺξ ἱερὸν ὄρνεον Ἀθηνᾶς· ταύτης ἡ πτῆσις εἰς νίκης σύμβολον ἐλογίζετο. — τὸ Φαληρικόν, von den 3 Häfen Athens der älteste u. östlichste. — ἄθρους versammelt mit seiner ganzen Macht. — ἐξερρύησαν, *efflu xerunt*. — ἐδόκει von gefasstem Beschluss. — τῆς νυκτός in der nächsten Nacht. — ἔνθα δή hebt den Nachsatz markirend den be-

Ἀθηναίων στρατηγὸς αἱρούμενος τὰ βασιλέως ἐξαγγέλλει πρῶτος αὐτῷ τοὺς Ἕλληνας ἀποδιδράσκοντας καὶ διακελεύεται μὴ παρεῖναι φυγεῖν αὐτοῖς, ἀλλ' ἐν ᾧ ταράττονται τῶν πεζῶν χωρὶς ὄντες ἐπιθέσθαι καὶ διαφθεῖραι τὴν ναυτικὴν δύναμιν. ταῦτα δ' ὁ Ξέρξης ὡς ἀπ' εὐνοίας λελεγμένα δεξάμενος ἤσθη καὶ τέλος εὐθὺς ἐξέφερε πρὸς τοὺς ἡγεμόνας τῶν νεῶν, τὰς μὲν ἄλλας πληροῦν καθ' ἡσυχίαν, διακοσίαις δ' ἀναχθέντας ἤδη περιβαλέσθαι τὸν πόρον ἐν κύκλῳ πάντα καὶ διαζῶσαι τὰς νήσους, ὅπως ἐκφύγοι μηδεὶς τῶν πολεμίων. τούτων δὲ πραττομένων Ἀριστείδης ὁ 3
Λυσιμάχου πρῶτος αἰσθόμενος ἦκεν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους, οὐκ ὢν φίλος, ἀλλὰ καὶ δι' ἐκεῖνον ἐξωστρακισμένος, ὥσπερ εἴρηται· προελθόντι δὲ τῷ Θεμιστοκλεῖ φράζει τὴν κύκλωσιν. ὁ δὲ τήν τε ἄλλην καλοκαγαθίαν οὗ ἀνδρὸς εἰδὼς καὶ τῆς τότε παρουσίας ἀγάμενος λέγει ἃ περὶ τὸν Σίκιννον αὐτῷ καὶ παρεκάλει τῶν Ἑλλήνων συνεπιλαμβάνεσθαι καὶ συμπροθυμεῖσθαι πίστιν ἔχοντα ἄλλον, ὅπως ἐν τοῖς στενοῖς ναυμαχήσωσιν. ὁ μὲν οὖν Ἀριστείδης ἐπαινέσας τὸν Θεμιστοκλέα τοὺς ἄλλους ἐπῄει στρατηγοὺς καὶ τριηράρχους ἐπὶ τὴν μάχην παροξύνων. ἔτι δὲ ὅμως ἀπιστούντων ἐφάνη Τηνία τριήρης αὐτόμολος, ἧς ἦρχε Παναίτιος, ἀπαγγέλλουσα τὴν κύκλωσιν· ὥστε καὶ θυμῷ τοὺς Ἕλληνας ὁρμῆσαι μετὰ τῆς ἀνάγκης πρὸς τὸν κίνδυνον.

hneten Zeitpunkt hervor. — εἰ, t sinngleich mit ὅτι. — τῶν νῶν, genauere Bezeichnung des emeinen τοῦ τόπου. — κατά ibutiv. — τὴν die bekannte. περὶ, wir: durch, mit.

εὔνους, Nep. Them. 4: *noctu rvis suis quem habuit fidelissm ad regem misit.* — πρῶ- häufiger Zusatz in Botschaften las Verdienstliche derselben rzuheben. — ἀποδιδράσκον- le conatu. — τέλος ἐκφέρειν Beschluss als Befehl geben, Redensart. — ἤδη sofort, Gegensatz zu καθ' ἡσυχίαν. — πόρον, zwischen Salamis und dem Festlande.

3. ἀλλὰ καί überbietet das vorhergehende οὐκ ὢν φίλος, um die Handlungsweise des Aristides desto stärker hervorzuheben. — εἴρηται 11, 1. — τὴν ἄλλην die sonst bewährte. — τῆς ihn wegen seiner. — συνεπιλαμβάνεσθαι z. Ag. 7, 5. — ὅπως ναυμαχήσωσι z. Arist. 9, 23. — πίστιν passiv. — ὅμως, trotz seiner Versicherung. — Τηνία von der Insel Tenos, einer der Cykladen. — θυμῷ Erbitterung. — ἀνάγκης,

**13.** Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆστο τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος· ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς Μεγαρίδος ὑπὲρ τῶν καλουμένων Κεράτων χρυσοῦν δίφρον θέμενος καὶ γραμματεῖς πολλοὺς παραστησάμενος, ὧν ἔργον ἦν ἀπογράφεσθαι τὰ κατὰ τὴν μάχην πραττόμενα. 2 Θεμιστοκλεῖ δὲ παρὰ τὴν ναυαρχίδα τριήρη σφαγιαζομένῳ τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆσι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. ἐλέγοντο δὲ Σανδαύκης παῖδες εἶναι τῆς βασιλέως ἀδελφῆς καὶ Ἀρταΰκτου. τούτους ἰδὼν Εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πτάρμὸς ἐκ δεξιῶν ἐσήμηνε, τὸν Θεμιστοκλέα δεξιωσάμενος ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι καὶ καθιερεῦσαι πάντας ὠμηστῇ Διονύσῳ προσευξάμενον, οὕτω γὰρ ἅμα σωτηρίαν τε καὶ νίκην ἔσεσθαι τοῖς Ἕλλησιν. ἐκπλαγέντος δὲ τοῦ Θεμιστοκλέους ὡς μέγα τὸ μάντευμα καὶ δεινὸν, οἷον εἴωθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων ἢ τῶν εὐλόγων τὴν σωτη-

φυγῆς ὁδοῦ οὐ λελειμμένης Aristid. 8.

**13.** 1. Ἡράκλειον, Heraklestempel auf der attischen Küste an der schmalsten Stelle des Sundes, auf dem Gipfel eines Hügelrückens, der sich von der Spitze des Aegaleos herabzieht. Der Standpunkt gewährte einen vollkommnen Ueberblick über die Bucht und Küste von Salamis, über Psyttaleia und den ganzen Sund von Munychia her bis zu seinem Eintritt in die Bucht von Eleusis, Leake Demen v. Attika S. 213. — Κεράτων, ἐν τῇ παραλίᾳ τῇ κατὰ Σαλαμῖνα κεῖσθαι συμβαίνει τὰ ὄρια τῆς Μεγαρικῆς καὶ τῆς Ἀθηδος ὄρη δύο, α καλοῦσι Κέρατα, Strabo 9, 604 Cas. — χρυσοῦν δίφρον, von Andern der silberfüssige, ἀργυρόπους genannt und als Beutestück in der Burg aufbewahrt. — γραμματεῖς, Schreiber befanden sich regelmässig im Gefolge des Königs. — ἀπογράφεσθαι aktiv, oder wie im Deutschen: sich anzumerken, nämlich die Namen derer, die sich besonders hervorthaten.

2. für ἰδέσθαι st. ἰδεῖν kenne ich kein zweites Beispiel in Prosa. — τὴν ὄψιν, den Zusatz rechtfertigt der Gegensatz. — ἐκ τῶν ἱερῶν aus den verbrannten Opferthieren. — μέγα καὶ περιφανές, die hell auflodernde u. gerade emporsteigende Flamme galt für ein günstiges Zeichen. — πτάρμός, glückbedeutend schon bei Homer als Zeichen τοῦ Διὸς τοῦ σωτῆρος, vgl. z. 12, 1. — κατάρξασθαι, eigentlich von der Todesweihe des

ρίαν ἐλπίζοντες οἱ πολλοὶ τὸν θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες ἠνάγκασαν, ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι. ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος εἴρηκε.

14. περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ ποιητὴς ὡς ἂν εἰδὼς καὶ διαβεβαιούμενος ἐν τραγῳδίᾳ Πέρσαις λέγει ταῦτα·

Ξέρξῃ δὲ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
νεῶν τὸ πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.

ὧν δ' Ἀττικῶν ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν ἑκάτερ τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους ὀκτωκαίδεκα εἶχεν· ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. ἐκεῖ δ' οὐχ ἧττον εὖ τὸν καιρὸν ὁ Θεμιστοκλῆς ἢ τὸν τό- 2
πον συνιδὼν καὶ φυλάξας μὴ πρότερον ἀντιπρώρους κατασῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν αὖραν παραγενέσθαι τὸ πνεῦμα λαμπρὸν ἐκ πελάγους ἀεὶ ὶ κῦμα διὰ τῶν στενῶν κατάγουσαν· ὃ τὰς μὲν Ἕλληνις οὐκ ἔβλαπτε ναῦς ἁλιτενεῖς οὔσας καὶ ταπεινοτέ-

erthieres durch Abschneiden u. Feuer werfen eines Büschels re; dann im weitern Sinne von ı Vorbereitungen zum Opfer. — στῇ, qui crudis carnibus ve- ır, s. z. Arist. 9, 11. — ἀνὴρ σοφος καὶ —, der Zusatz bekt vielleicht den Glauben an usserordentliche Sache zu unitzen. Nach dieser Stelle fand )pferung vor der Schlacht nach Aristid. 9 geriethen die r erst bei der Einnahme von alia durch Aristides in dessen ». Uebrigens fehlt es nicht an ı Beispielen von Menschenaus der historischen Zeit.

1. ὡς ἄν — vollständig: ὡς ἂν λέγοι εἰδώς. — Πέρ- ·. 347 ff. Worte eines der ht entflohenen Persers an die Atossa, die Mutter des Xerxes. — αἱ δέ —, ausser jenen tausend. — λόγος das Zahlverhältniss; in der Angabe der Schiffszahl herrscht bei den verschiedenen Schriftstellern einige Abweichung. — ὀκτωκαίδεκα, eine auffallend geringe Zahl.

2. τὸ πνεῦμα λαμπρόν, der frische Wind, der vom Meere her die Wellen durch die Meerenge dem festen Lande zu trieb: die Nachricht wird von Leake (Demen von Attika S. 203) bezweifelt, da die Schlacht erst spät im Sommer geschlagen worden sei, wo selten der Seewind eher einsetze als bis der Vormittag schon etwas weiter vorgerückt sei, u. Aeschylus u. Herodot darin übereinstimmten, dass das Gefecht gleich mit Tagesanbruch begonnen habe. — ἁλιτενεῖς

ρας, τὰς δὲ βαρβαρικὰς ταῖς τε πρύμναις ἀνεστώσας κ
τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομέν
ἔσφαλλε προσπῖπτον καὶ παρεδίδου πλαγίας τοῖς Ἕλλησ
ὀξέως προσφερομένοις καὶ τῷ Θεμιστοκλεῖ προσέχουσι
ὡς ὁρῶντι μάλιστα τὸ συμφέρον, καὶ ὅτι κατ' ἐκεῖνον
Ξέρξου ναύαρχος Ἀριαμένης ναῦν ἔχων μεγάλην ὥσπερ ἀπ
τείχους ἐτόξευε καὶ ἠκόντιζεν, ἀνὴρ ἀγαθὸς ὢν καὶ τῷ
βασιλέως ἀδελφῶν πολὺ κράτιστός τε καὶ δικαιότατος
3 τοῦτον μὲν οὖν Ἀμεινίας ὁ Δεκελεὺς καὶ Σωκλῆς ὁ Πεδιεὺ
δρομοῦ πλέοντες, ὡς αἱ νῆες ἀντίπρωροι προσπεσοῦσαι κα
συνερείσασαι τοῖς χαλκώμασιν ἐνεσχέθησαν, ἐπιβαίνοντ
τῆς αὐτῶν τριήρους ὑποστάντες καὶ τοῖς δόρασι τύπτοντε
εἰς τὴν θάλασσαν ἐνέβαλον· καὶ τὸ σῶμα μετ' ἄλλω
φερόμενον ναυαγίων Ἀρτεμισία γνωρίσασα πρὸς Ξέρξη
ἀνήνεγκεν.

**15.** ἐν δὲ τούτῳ τοῦ ἀγῶνος ὄντος φῶς μὲν ἐκλάμψαι
μέγα λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ Θριά-
σιον κατέχειν πεδίον ἄχρι τῆς θαλάττης, ὡς ἀνθρώπων
δρομοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων Ἴακχον. ἐκ δὲ τοῦ

flach und niedrig. — ἔσφαλλε — παρεδίδου πλαγίας, Wind und Wellen dreheten die durch ihre breiten Spiegel und ihr hohes Deck unlenksamen Schiffe auf die Seite und gaben sie den Angriffen der Hellenen blos. — ὡς subjective, ὅτι objective Begründung, warum die Griechen sich nach Themistokles gerichtet. — δικαιότατος geht wohl auf den Umstand, dass er zwar der älteste, aber vor der Thronbesteigung des Darius geborene Sohn war und deshalb grossmüthig den Thron dem Xerxes abgetreten hatte, dem ältesten der nach Darius' Thronbesteigung geborenen Söhne, moral. 488 f, Herod. 7, 2, wo er Artabazanes heisst.

3. Δεκελεύς, aus dem zur φυλὴ Ἱπποθοωντίς gehörigen δῆμος Δεκέλεια. — Πεδιεύς muss gleichfalls Bezeichnung eines δῆμος sein, die sonst nirgends vorkommt und wahrscheinlich korrupt ist. — χαλκώμασι, durch die Schiffsschnäbel (ἔμβολοι, rostra) am Vordertheile des Schiffes, gebildet durch überstehende mit Erz beschlagene Bohlen. — Artemisia, Königin von Halikarnass, zeichnete sich durch Schlauheit und Geistesgegenwart in der Schlacht aus, s. Herod. 8, 93.

**15.** 1. Θριάσιον, auf dem Wege nach Eleusis, benannt nach dem Ort Θρία. — Ἴακχον die Iacchosprocession von Athen nach Eleusis am 6. Tage des eleusinischen Festes, ausgeführt von vielen tausenden unter rauschendem Gesang, Anrufungen des Bacchus, Tänzen u. s. w. — παρακεκλημένους, Herod. 8, 64: εὐξάμενοι πᾶσι τοῖσι θεοῖσι αὐτόθεν μὲν ἐκ Σαλαμῖνος

πλήθους τῶν φθεγγομένων κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν ἐνόπλων ἀνδρῶν ἀπ' Αἰγίνης τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν Ἑλληνικῶν τριηρῶν· οὓς εἴκαζον Αἰακίδας εἶναι παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. πρῶτος μὲν οὖν λαμβάνει ναῦν Λυκομήδης, ἀνὴρ Ἀθηναῖος 2
τριηραρχῶν, ᾗ τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ Φλυῆσιν. οἱ δ' ἄλλοι τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος ἐν στενῷ κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλοις ἐτρέψαντο μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ τεριβόητον ἀράμενοι νίκην, ἧς οὔθ' Ἕλλησιν οὔτε βαρβάοις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον, ἀνδρείᾳ μὲν αὶ προθυμίᾳ κοινῇ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ εινότητι Θεμιστοκλέους.

**16.** μετὰ δὲ τὴν ναυμαχίαν Ξέρξης μὲν ἔτι θυμομαῦν πρὸς τὴν ἀπότευξιν ἐπεχείρει διὰ χωμάτων ἐπάγειν πεζὸν τοῖς Ἕλλησιν εἰς Σαλαμῖνα ἐμφράξας τὸν διὰ μέ-

ντα τε καὶ Τελαμῶνα ἐπεκαντο, ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς ους Αἰακίδας νῆα ἀπέστελλον Αἴγιναν.

1. πρῶτος — Λυκομήδης, wahrscheinlich ein Irrthum Plutarchs; ch Herod. 8, 84 gebührt dieser m dem c. 14 erwähnten Ami-, während Lykomedes bei Arisium das erste feindliche ff nahm, Herod. 8, 11. — δαφνηφόρῳ, *Phoebo laurigero* Ovid. m. 3, 389: es scheint hier ein pel verstanden zu werden, in hem Apollo mit einem Lorbeerz geschmückt stand (Jacobs). ı Altar Ἀπόλλωνος Λιονυσοı im Demos Φλυά erwähnt n. 1, 31, 4. — ἐξισούμενοι, n dem engen Raum die Perser icht mehr Schiffen Gebrauch n konnten als die Griechen, Them. 4: *barbarus alienissimo sibi loco, contra opportunissimo hostibus, adeo angusto mari confligit, ut eius multitudo navium explicari non potuerit.* — μέχρι δείλης, Herod. 8, 86: καίτοι ἦσάν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν ἢ πρὸς Εὐβοίῃ, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξην, ἐδόκεέ τε ἕκαστος ἑωυτὸν θεήσασθαι βασιλέα. — ἐνάλιον ἔργον scheinen die eignen Worte des Simonides. — γνώμῃ — Θεμιστοκλέους, Nepos: *victus est ergo magis consilio Themistoclis quam armis Graeciae.*

**16.** 1. διὰ χωμάτων, Herod. 8, 97: ἐς τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο διαχοῦν, γαυλούς τε Φοινικηΐους συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι καὶ τείχεος, ἀρτέετό τε ἐς πόλεμον ὡς ναυμαχίην ἄλλην

σου πόρον· Θεμιστοκλῆς δ' ἀποπειρώμενος Ἀριστείδου λόγῳ γνώμην ἐποιεῖτο λύειν τὸ ζεῦγμα ταῖς ναυσὶν ἐπιπλεύσαντας εἰς Ἑλλήσποντον „Ὅπως" ἔφη „τὴν Ἀσίαν ἐν τῇ Εὐρώπῃ λάβωμεν." δυσχεραίνοντος δὲ τοῦ Ἀριστείδου καὶ λέγοντος ὅτι „Νῦν μὲν τρυφῶντι τῷ βαρβάρῳ πεπολεμήκαμεν, ἂν δὲ κατακλείσωμεν εἰς τὴν Ἑλλάδα καὶ κατα-
2 στήσωμεν εἰς ἀνάγκην ὑπὲ δέους ἄνδρα τηλικούτων δυνάμεων κύριον, οὐκέτι καθήμενος ὑπὸ σκιάδι χρυσῇ θεάσεται τὴν μάχην ἐφ' ἡσυχίας, ἀλλὰ πάντα τολμῶν καὶ πᾶσιν αὐτὸς παρὼν διὰ τὸν κίνδυνον ἐπανορθώσεται τὰ παρειμένα καὶ βουλεύσεται βέλτιον ὑπὲρ τῶν ὅλων· οὐ τὴν οὖσαν οὖν" ἔφη „δεῖ γέφυραν, ὦ Θεμιστόκλεις, ἡμᾶς ἀναιρεῖν, ἀλλ' ἑτέραν, εἴπερ οἷόν τε, προσκατασκευάσαντας ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς Εὐρώπης." „Οὐκοῦν" εἶπεν ὁ Θεμιστοκλῆς „εἰ δοκεῖ ταῦτα συμφέρειν, ὥρα σκοπεῖν καὶ μηχανᾶσθαι πάντας ἡμᾶς, ὅπως ἀπαλλαγήσεται τὴν ταχίστην ἐκ τῆς Ἑλλάδος." ἐπεὶ δὲ ταῦτα ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρὼν, Ἀρνάκην ὄνομα, φράζειν βασιλεῖ κελεύσας, ὅτι τοῖς μὲν Ἕλλησι δέδοκται τῷ ναυτικῷ κεκρατηκότας ἀνα-

ποιησόμενος. — ἀποπειρώμενος, um ihn auszuhohlen. — Ἀριστείδου, statt dessen nennt Herod. 8, 109 den Eurybiades. — λόγῳ, zum Schein, gehört zu γνώμην ἐποιεῖτο, von dem der artikellose Infin. abhängig ist, weil die Redensart einem einfachen Verbalbegriff (schlug vor) sinngleich ist. — τὴν Ἀσίαν s. z. Arist. 9, 2. — εἰς ἀνάγκην ὑπὸ δέους, durch Furcht aufs Aeusserste treiben, comp. Thes. c. Rom. 1: ὑπὸ δέους ἀνδρεῖος γενόμενος καὶ φόβῳ τοῦ τὰ ἔσχατα παθεῖν ἐπὶ τὸ ὁρᾶν μεγάλα δι' ἀνάγκην παραγενόμενος.

2. ὑπὸ σκιάδι, Zeichen der τρυφή, weibischen Weichlichkeit; so von der Kleopatra κατακεῖσθαι ὑπὸ σκιάδι χρυσοπάστῳ, Anton. 26.; σκηνὴ ὡροφωμένη (Pavillon) erklärt es Hesychius. — ὑπέρ bei Spätern häufig = περί. — ἄνθρωπον, wohl nicht verächtlich, sondern wie *homo* in Bezug auf eine genannte Person statt des Pronomen, vgl. Perikl. 4, 2. — πάντας ἡμᾶς, der Vorschlag scheint in einem Kriegsrath stattgefunden zu haben, s. Herod. 8, 108., darauf führt auch ἔδοξε. — Ἀρνάκην z. Arist. 9, 26. — Ἕλλησι — κεκρατηκότας, Xen. Anab. 3, 2, 1: ἔδοξεν αὐτοῖς προφύλακας καταστήσαντας συγκαλεῖν τοὺς στρατιώτας. — γέφυραν neben ζεῦγμα nicht pleonastisch, sondern Bezeichnung des ζεύγματος nach seinem Zweck; ganz so Diodor 11, 19: τὸν παιδαγωγὸν ἀπέστειλε πρὸς τὸν Ξέρξην δηλώσοντα διότι μέλλουσιν οἱ Ἕλληνες πλεύσαντες ἐπὶ

πλεῖν εἰς τὸν Ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα καὶ λύειν τὴν γέφυραν· Θεμιστοκλῆς δὲ κηδόμενος βασιλέως παραινεῖ 3
σπεύδειν ἐπὶ τὴν ἑαυτοῦ θάλατταν καὶ περαιοῦσθαι, μέχρις αὐτὸς ἐμποιεῖ τινας διατριβὰς τοῖς συμμάχοις καὶ μελλήσεις πρὸς τὴν δίωξιν. ταῦθ' ὁ βάρβαρος ἀκούσας καὶ γενόμενος περίφοβος διὰ τάχους ἐποιεῖτο τὴν ἀναχώρησιν. καὶ πεῖραν ἡ Θεμιστοκλέους καὶ Ἀριστείδου φρόνησις ἐν Μαρδονίῳ παρέσχεν, εἴγε πολλοστημορίῳ τῆς Ξέρξου δυνάμεως διαγωνισάμενοι Πλαταιᾶσιν εἰς τὸν περὶ τῶν ὅλων κίνδυνον κατέστησαν.

17. πόλεων μὲν οὖν τὴν Αἰγινητῶν ἀριστεῦσαί φησιν Ἡρόδοτος, Θεμιστοκλεῖ δὲ, καίπερ ἄκοντες ὑπὸ φθόνου, τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν Ἰσθμὸν ἀπὸ τοῦ βωμοῦ τὴν ψῆφον ἔφερον οἱ στρατηγοί, πρῶτον μὲν ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν Θεμιστοκλέα· Λακεδαιμόνιοι δ' εἰς 2
τὴν Σπάρτην αὐτὸν καταγαγόντες Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν θαλλοῦ στέφανον καὶ τῶν κατὰ τὴν πόλιν ἁρμάτων τὸ πρωτεῦον ἐδωρήσαντο καὶ τριακοσίους τῶν νέων πομποὺς ἄχρι τῶν ὅρων συνεξέπεμ-

τὸ ζεῦγμα λύειν τὴν γέφυραν.

3. κηδόμενος βασιλέως, über die Absicht des Themistokles Herod. 8, 110: ἀποθήκην μέλλων ποιήσεσθαι ἐς τὸν Πέρσεα, ἵνα ἢν ἄρα οἱ μὲν καταλαμβάνῃ πρὸς Ἀθηναίων πάθος ἔχῃ ἀποστροφήν. — περίφοβος, Diodor a. a. O.: περίφοβος ἐγένετο μὴ τῆς εἰς τὴν Ἀσίαν ἐπανόδου στερηθῇ τῶν Ἑλλήνων θαλαττοκρατούντων. — πεῖραν, ἑαυτῆς. — εἴγε (si quidem) eigentlich: wenigstens wenn, wenn anders, bescheiden eine unzweifelhafte Sache dahin gestellt sein lassend.

17. 1. πόλεων vorangestellt wegen des bei Nennung des Einzelnen (ἐμὲ δὲ) vorschwebenden Gegensatzes (ἀνδρῶν δὲ). — Ἡρόδοτος, 8, 93, anders Diodor 11, 27: κρίσεως προτεθείσης περὶ τῶν ἀριστείων χάριτι κατισχύσαντες (Λακεδαιμόνιοι) ἐποίησαν κριθῆναι πόλιν μὲν ἀριστεῦσαι τὴν Αἰγινητῶν, ἄνδρα δὲ Ἀμεινίαν Ἀθηναῖον. — ἀπὸ τοῦ βωμοῦ, Herodot: οἱ στρατηγοὶ διενέμοντο τὰς ψήφους ἐπὶ τοῦ Ποσειδέωνος τῷ βωμῷ, τὸν πρῶτον καὶ τὸν δεύτερον κρίνοντες ἐκ πάντων: vom Altar wurden die Stimmzeichen in besonders wichtigen Fällen zu grösserer Feierlichkeit und gewissenhafterer Abstimmung entnommen, vgl. Perikl. 32.

2. Λακεδαιμόνιοι —, nach Herodot 8, 124 ging er selbst nach Sparta θέλων τιμηθῆναι, καί μιν Λακεδαιμόνιοι καλῶς ὑπεδέξαντο, μεγάλως δὲ ἐτίμησαν. — συνεξέ-

ψαν. λέγεται δ' Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων καὶ παρελθόντος εἰς τὸ στάδιον τοῦ Θεμιστοκλέους ἀμελήσαντας τῶν ἀγωνιστῶν τοὺς παρόντας ὅλην τὴν ἡμέραν ἐκεῖνον θεᾶσθαι καὶ τοῖς ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας καὶ κροτοῦντας, ὥστε καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων.

**18.** καὶ γὰρ ἦν τῇ φύσει φιλοτιμότατος, εἰ δεῖ τεκμαίρεσθαι διὰ τῶν ἀπομνημονευομένων. αἱρεθεὶς γὰρ ναύαρχος ὑπὸ τῆς πόλεως οὐδὲν οὔτε τῶν ἰδίων οὔτε τῶν κοινῶν κατὰ μέρος ἐχρημάτιζεν, ἀλλὰ πᾶν ἀνεβάλλετο τὸ προσπῖπτον εἰς τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἐκπλεῖν ἔμελλεν, ἵν' ὁμοῦ πολλὰ πράττων πράγματα καὶ παντοδαποῖς ἀνθρώποις ὁμιλῶν μέγας εἶναι δοκῇ καὶ πλεῖστον δύνασθαι· τῶν δὲ νεκρῶν τοὺς ἐκπεσόντας ἐπισκοπῶν παρὰ τὴν θάλατταν, ὡς εἶδε περικειμένους ψέλια χρυσᾶ καὶ στρεπτούς, αὐτὸς μὲν παρῆλθε, τῷ δ' ἑπομένῳ φίλῳ δείξας εἶπεν· „Ἀνελοῦ σαυτῷ· σὺ γὰρ οὐκ εἶ Θεμιστοκλῆς.“ 2 πρὸς δέ τινα τῶν καλῶν γεγονότων, Ἀντιφάτην, ὑπερηφάνως αὐτῷ κεχρημένον πρότερον, ὕστερον δὲ θεραπεύοντα διὰ τὴν δόξαν „Ὦ μειράκιον“ εἶπεν „ὀψὲ μὲν, ἀμφότεροι δ' ἅμα νοῦν ἐσχήκαμεν.“ ἔλεγε δὲ τοὺς Ἀθηναίους οὐ τιμᾶν αὐτὸν οὐδὲ θαυμάζειν, ἀλλ' ὥσπερ πλατάνῳ χειμα-

πεμψαν, diese Auszeichnung war einzig in ihrer Art, Herodot: μοῦνον δὴ τοῦτον πάντων ἀνθρώπων, τῶν ἡμεῖς ἴδμεν, Σπαρτιῆται προέπεμψαν: wie hoch sie anzuschlagen sei, zeigen die Worte der Athener bei Thucyd. 1, 74: καὶ αὐτοὶ διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων. — Ὀλυμπίων τῶν ἐφεξῆς, also Ol. 76. — κροτοῦντας, plaudentes: von seiner Auszeichnung bei dieser Gelegenheit sagt Pausanias 8, 50, 3: Θεμιστοκλέους ἐς τιμὴν ἐπανέστη τὸ ἐν Ὀλυμπίᾳ θέατρον (Theaterpublikum).

**18.** 1. καὶ γάρ schliesst sich bekräftigend an die in der Aeusserung des Them. enthaltne Andeutung seiner φιλοτιμία. — τεκμαίρεσθαι διά, ungewöhnlich st. τ. τοῖς. — ναύαρχος bei Attikern seltne Bezeichnung des athenischen, häufiger des spartanischen Admirals. — δοκῇ, als natürliche Folge jener Handlungsweise, nicht als Absicht (opt.) des Them. — τοὺς ἐκπεσόντας die von der See ausgeworfenen. — περικειμένους = περιτεθειμένους. Pelop. 11: Χάρων καὶ Μέλων δασεῖς στεφάνους περικείμενοι.

2. ὑπερηφάνως κεχρημένον, mor. 185 c: Ἀντιφάτου δὲ τοῦ κα-

ζομένους μὲν ὑποτρέχειν κινδυνεύοντας, εὐδίας δὲ περὶ αὐτοὺς γενομένης τίλλειν καὶ κολούειν. τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν· „Ἀληθῆ λέγεις" εἶπεν „ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος." ἑτέρου 3
δέ τινος τῶν στρατηγῶν, ὡς ἔδοξέ τι χρήσιμον διαπεπρᾶχθαι τῇ πόλει, θρασυνομένου πρὸς τὸν Θεμιστοκλέα καὶ τὰς ἑαυτοῦ ταῖς ἐκείνου πράξεσιν ἀντιπαραβάλλοντος, ἔφη τῇ ἑορτῇ τὴν ὑστεραίαν ἐρίσαι λέγουσαν, ὡς ἐκείνη μὲν ἀσχολιῶν τε μεστὴ καὶ κοπώδης ἐστὶν, ἐν αὐτῇ δὲ πάντες ἀπολαύουσι τῶν παρεσκευασμένων σχολάζοντες· τὴν δ' ἑορτὴν πρὸς ταῦτ' εἰπεῖν· „Ἀληθῆ λέγεις· ἀλλ' ἐμοῦ μὴ γενομένης σὺ οὐκ ἂν ἦσθα·" „κἀμοῦ τοίνυν" ἔφη „τότε μὴ γενομένου, ποῦ ἂν ἦτε νῦν ὑμεῖς;" τὸν δὲ υἱὸν ἐντρυφῶντα τῇ μητρὶ καὶ δι' ἐκείνην αὐτῷ σκώπτων ἔλεγε πλεῖστον τῶν Ἑλλήνων δύνασθαι· τοῖς μὲν γὰρ Ἕλλησιν ἐπιτάττειν Ἀθηναίους, Ἀθηναίοις δ' αὐτὸν, αὐτῷ δὲ τὴν ἐκείνου μητέρα, τῇ μητρὶ δ' ἐκεῖνον. ἴδιος δέ τις ἐν πᾶσι βουλόμενος εἶναι χωρίον μὲν πιπράσκων ἐκέλευε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει· τῶν δὲ μνωμένων αὐτοῦ τὴν θυγατέρα τὸν ἐπιεικῆ τοῦ πλουσίου προκρίνας ἔφη ζητεῖν ἄνδρα χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα ἀνδρός. ἐν μὲν οὖν τοῖς ἀποφθέγμασι τοιοῦτός τις ἦν.

λοῦ πρότερον μὲν ἐρῶντα τὸν Θεμιστοκλέα φεύγοντος καὶ καταφρονοῦντος—. κινδυνεύοντας, wenn sie sich in Gefahr befänden, flüchteten sie sich zu ihm, wie von einem Gewitter befallene unter einen Baum: treffend charakterisirt der Ausspruch das Verhalten der Athener gegen Them., den sie nur anerkannten, so lange sie ihn nicht entbehren konnten. — τοῦ Σεριφίου wie 11, 4 τοῦ Ἐρετριέως, anders Cicero de sen. 3: *Them. fertur Seriphio cuidam in iurgio respondisse.* — Seriphus eine der kleinsten und unfruchtbarsten Cycladen und sprichwörtlicher Typus der Beschränktheit. — ἀλλ' setzt dem Zugeständniss eine Beschränkung entgegen.

3. ἀντιπαραβάλλειν dagegen haltend vergleichen. — τότε, περὶ τὰ Μηδικά. — υἱόν, gemeint ist der c. 32 genannte Κλεόφαντος. — ἐντρυφᾶν, von der Gewalt des verzogenen Kindes über seine Mutter. — ἴδιος *singularis.* — τῶν μνωμένων, Cic. de offic. 2, 20: *Themistocles quum consuleretur utrum bono viro pauperi, an minus probato diviti filiam collocaret, ego vero, inquit, malo virum qui pecunia egeat, quam pecuniam quae viro.* — μὲν οὖν versichernd ab-

**19.** *γενόμενος δ' ἀπὸ τῶν πράξεων ἐκείνων εὐθὺς ἐπεχείρει τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς Ἐφόρους· ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος. ἦκε μὲν γὰρ εἰς Σπάρτην ὄνομα πρεσβείας ἐπιγραψάμενος. ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν, ὅτι τειχίζουσι τὸ ἄστυ καὶ Πολυάρχου κατηγοροῦντος ἐπίτηδες ἐξ Αἰγίνης ἀποσταλέντος, ἠρνεῖτο καὶ πέμπειν ἐκέλευσεν εἰς Ἀθήνας τοὺς κατοψομένους, ἅμα μὲν ἐμβάλλων τῷ τειχισμῷ χρόνον ἐκ τῆς διατριβῆς, ἅμα δὲ βουλόμενος ἀντ' αὐτοῦ τοὺς πεμπο-*
2 *μένους ὑπάρχειν τοῖς Ἀθηναίοις. ὃ καὶ συνέβη· γνόντες γὰρ οἱ Λακεδαιμόνιοι τὸ ἀληθὲς οὐκ ἠδίκησαν αὐτόν, ἀλλ' ἀδήλως χαλεπαίνοντες ἀπέπεμψαν. ἐκ δὲ τούτου τὸν Πειραιᾶ κατεσκεύαζε τὴν τῶν λιμένων εὐφυΐαν κατανοήσας καὶ τὴν πόλιν ὅλην ἁρμοττόμενος πρὸς τὴν θάλατταν καὶ τρόπον τινὰ τοῖς παλαιοῖς βασιλεῦσι τῶν Ἀθηναίων ἀντιπολιτευόμενος. ἐκεῖνοι μὲν γάρ, ὡς λέγεται, πραγματευ-*

schliessend und den Uebergang zu Neuem vorbereitend.

**19.** 1. *ἀπό* wie 2, 1. — *ἀνοικοδομεῖν, τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει καὶ οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν*, Thuc. 1, 89. — *μὴ ἐναντιωθῆναι, namque Lacedaemonii caussam idoneam nacti propter barbarorum excursiones qua negarent oportere extra Peloponnesum ullam urbem (muros) habere, ne essent loca munita, quae hostes possiderent, Athenienses aedificantes prohibere sunt conati*, Nep. Them. 6. — *οἱ πλεῖστοι*, so vor allen Thucyd. 1, 90 f. dessen Darstellung gegen die Abweichungen Anderer allein gelten kann. — *ὄνομα*, die wahre Absicht war Täuschung. — *ἀντ' αὐτοῦ*, zu diesem Zweck hatte er nach Athen sagen lassen, die Lacedämonischen Gesandten *ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν καὶ μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν*, Thucyd. 1, 91.

2. *ἀδήλως χαλεπαίνοντες*, aus Thucyd. 1, 92: *ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις, τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. — ἐκ τούτου* —, ist ungenau so dargestellt, als habe Them. erst damals den Hafenbau unternommen, der schon 2 Jahre vor der Schlacht bei Salamis begonnen, aber allerdings erst Ol. 75, 4 = 477 nach dem Mauerbau vollendet ward. — *λιμένων, triplex Piraeei portus*, Nep. Them. 6, d. h. Kantharos, Zea, Aphrodision. — *περὶ τῆς χώρας*, nach der gewöhnlichen Sage über die Benennung der Stadt Athen; sie sollte nach dem benannt werden, der das nützlichste Geschenk hervorbringen würde. Athene liess den Oelbaum erspriessen, Poseidon schuf einen Brunnen, nach andern Hafen und Schiffsplätze, nach noch andern das kriegerische Ross. —

μενοι τοὺς πολίτας ἀποσπάσαι τῆς θαλάττης καὶ συνεθίσαι ζῆν μὴ πλέοντας, ἀλλὰ τὴν χώραν φυτεύοντας, τὸν περὶ τῆς Ἀθηνᾶς διέδοσαν λόγον, ὡς ἐρίσαντα περὶ τῆς χώρας τὸν Ποσειδῶ δείξασα τὴν μορίαν τοῖς δικασταῖς ἐνίκησε. Θεμιστοκλῆς δ' οὐχ, ὡς Ἀριστοφάνης ὁ κωμικὸς λέγει, τῇ 3
τόλει τὸν Πειραιᾶ προσέμαξεν, ἀλλὰ τὴν πόλιν ἐξῆγε τοῦ Πειραιῶς καὶ τὴν γῆν τῆς θαλάττης· ὅθεν καὶ τὸν δῆμον ηὔξησε κατὰ τῶν ἀρίστων καὶ θράσους ἐνέπλησεν, εἰς ναύτας καὶ κελευστὰς καὶ κυβερνήτας τῆς δυνάμεως ἐφικομένης. διὸ καὶ τὸ βῆμα τὸ ἐν Πνυκὶ πεποιημένον ἴστ' ἀποβλέπειν πρὸς τὴν θάλατταν ὕστερον οἱ τριάκοντα πρὸς τὴν χώραν ἀπέστρεψαν, οἰόμενοι τὴν μὲν κατὰ θάλατταν ἀρχὴν γένεσιν εἶναι δημοκρατίας, ὀλιγαρχίᾳ δ' ἦτον δυσχεραίνειν τοὺς γεωργοῦντας.

**20.** Θεμιστοκλῆς δὲ καὶ μεῖζόν τι περὶ τῆς ναυτικῆς ἐνοήθη δυνάμεως. ἐπεὶ γὰρ ὁ τῶν Ἑλλήνων στόλος ἀπηλλαγμένου Ξέρξου κατῆρεν εἰς Παγασὰς καὶ διεχείμαζε, δη-

κασταῖς, nach einigen waren die bitter Schiedsrichter, nach andern Cecrops oder Kranaus oder Erechtheus.

3. Ἀριστοφάνης in den Rittern 812. — ἀλλά d. h. das Verhältnis war vielmehr ein umgekehrtes, machte den Pir. zur Haupt-, die Stadt zur Nebensache. — ὅθεν —, die Richtung auf Seefahrt und Seekrieg galt den alten Politikern durchweg als geeignet demokratischen Sinn zu wecken und zu nähren. Daher Aristoteles Polit. 4, 22: μᾶλλον δημοτικοὶ οἱ τὸν Πειραιᾶ οἰκοῦντες τῶν τὸ ἄστυ. — Πνύξ, Versammlungsort der Athener auf einem Hügel der Akropolis gegenüber mit einem in den Felsen gehauenen Suggest (βῆμα). — οἱ ἔχοντα, die nach der Eroberung Athens Ol. 94, 4 = 404 die höchste Gewalt an sich rissen. Das hier berichtete stellen neuere Untersuchungen als Erfindung spätrer Zeit darauf berechnet das Andenken der 30 noch verhasster zu machen: die Aussicht auf das Meer hat das βῆμα nie gehabt. Wie bedeutsam übrigens solche scheinbare Kleinigkeiten sind, bemerkt Plut. sehr verständig C. Gracch. 5: τῶν πρὸ αὐτοῦ πάντων δημαγωγῶν πρὸς τὴν σύγκλητον ἀφορώντων καὶ τὸ καλούμενον κομίτιον, πρῶτος τότε στραφεὶς ἔξω πρὸς τὴν ἀγορὰν (λέγεται) δημηγορῆσαι, καὶ τὸ λοιπὸν οὕτω ποιεῖν ἐξ ἐκείνου, μικρᾷ παρεγκλίσει καὶ μεταθέσει σχήματος μέγα πρᾶγμα κινήσας καὶ μετενεγκὼν τρόπον τινὰ τὴν πολιτείαν ἐκ τῆς ἀριστοκρατίας εἰς τὴν δημοκρατίαν, ὡς τῶν πολλῶν δέον, οὐ τῆς βουλῆς, στοχάζεσθαι τοὺς λέγοντας.

**20.** 1. Θεμιστοκλῆς δέ, weit entfernt jenes Bedenken gegen die Richtung auf das Seewesen zu theilen, hatte Them. noch viel umfassendere Pläne. — Ἑλλήνων z. 7, 2. — Παγασαί Küstenstadt der thessal. Landschaft Magnesia. —

μηγορῶν ἐν τοῖς Ἀθηναίοις ἔφη τινὰ πρᾶξιν ἔχειν ὠφέλιμον μὲν αὐτοῖς καὶ σωτήριον, ἀπόρρητον δὲ πρὸς τοὺς πολλούς. τῶν δ' Ἀθηναίων Ἀριστείδῃ φράσαι μόνῳ κελευόντων κἂν ἐκεῖνος δοκιμάσῃ περαίνειν, ὁ μὲν Θεμιστοκλῆς ἔφρασε τῷ Ἀριστείδῃ, τὸ νεώριον ἐμπρῆσαι διανοεῖσθαι τῶν Ἑλλήνων ὁ δ' Ἀριστείδης εἰς τὸν δῆμον παρελθὼν ἔφη τῆς πράξεως, ἣν διανοεῖται πράττειν ὁ Θεμιστοκλῆς, μηδεμίαν εἶναι μήτε λυσιτελεστέραν μήτ' ἀδικωτέραν. οἱ μὲν οὖν Ἀθηναῖοι διὰ ταῦτα παύσασθαι τῷ Θεμιστοκλεῖ προσέταξαν. ἐν δὲ τοῖς Ἀμφικτυονικοῖς συνεδρίοις τῶν Λακεδαιμονίων εἰσηγουμένων, ὅπως ἀπείργωνται τῆς Ἀμφικτυονίας αἱ μὴ συμμαχήσασαι κατὰ τοῦ Μήδου πόλεις, φοβηθεὶς μὴ Θετταλοὺς καὶ Ἀργείους, ἔτι δὲ Θηβαίους ἐκβαλόντες τοῦ συνεδρίου παντελῶς ἐπικρατήσωσι τῶν ψήφων καὶ γένηται τὸ δοκοῦν ἐκείνοις, συνεῖπε ταῖς πόλεσι καὶ μετέθηκε τὰς γνώμας τῶν Πυλαγορῶν διδάξας, ὡς τριάκοντα καὶ μία μόναι πόλεις εἰσὶν αἱ μετασχοῦσαι τοῦ πολέμου καὶ τούτων αἱ πλείους παντάπασι μικραί. δεινὸν οὖν, εἰ τῆς ἄλλης Ἑλλάδος ἐκσπόνδου γενομένης ἐπὶ ταῖς μεγίσταις δυσὶν ἢ τρισὶ πόλεσιν ἔσται τὸ συνέδριον. ἐκ τούτου μὲν

ἐμπρῆσαι, οὕτω γὰρ ἔσεσθαι μεγίστους καὶ κυρίους ἁπάντων τοὺς Ἀθηναίους, setzt Plut. Arist. 22 hinzu, *quo facto frangi Lacedaemoniorum opus necesse esset*, Cic. offic. 3, 11.

2. Ἀμφικτυονικοῖς (so nach der falschen Ableitung von Ἀμφικτυών statt von ἀμφικτίονες = περίοικοι) συνεδρίοις, Versammlungen von ursprünglich Nachbarvölkern in geschlossenen Vereinen zu gemeinsamer Festfeier und Wahrung völkerrechtlicher Verhältnisse, doch ohne eigentlich politische Bedeutung; die berühmteste Amphiktyonie ist die hier gemeinte, die sich an den Thermopylen versammelte in dem Tempel des pythischen Apollo. — Θετταλούς, s. c. 7. — Die Argiver hatten sich neutral verhalten, Herod. 7, 148, die Thebaner sehr bald den Persern ergeben. Herod. 8, 233. — Πυλαγόραι, die Repräsentanten der zur Amphikt. gehörigen Völkerschaften, Bundesgesandten, ἐκαλεῖτο δὲ πυλαγόρας παρὰ τὸ ἐπὶ τῇ Πυλαίᾳ ἀγορεύειν· Πύλαι δέ ἐστι τὸ Ἀμφικτυονικὸν συνέδριον, Etym. magn. — Κίμωνα προῆγον, Plut. Cim. 16: ηὐξήθη δ' ὑπὸ τῶν Λακεδαιμονίων ἤδη τῷ Θεμιστοκλεῖ προσπολεμουμένων καὶ τοῦτον ὄντα νέον ἐν Ἀθήναις μᾶλλον ἰσχύειν καὶ κρατεῖν βουλομένων.

21. 1. καὶ τ. συμμάχοις ἐπαχθής, nicht blos den Lacedämoniern verhasst. — χρηματιζόμενος, dass Them. sich λάθρη τῶν ἄλλων στρα-

οὖν μάλιστα τοῖς Λακεδαιμονίοις προσέκρουσε· διὸ καὶ τὸν Κίμωνα προήγοντο ταῖς τιμαῖς ἀντίπαλον ἐν τῇ πολιτείᾳ τῷ Θεμιστοκλεῖ καθιστάντες.

**21.** ἦν δὲ καὶ τοῖς συμμάχοις ἐπαχθὴς περιπλέων τε τὰς νήσους καὶ χρηματιζόμενος ἀπ' αὐτῶν· οἷα καὶ πρὸς Ἀνδρίους ἀργύριον αἰτοῦντα φησὶν αὐτὸν Ἡρόδοτος εἰπεῖν τε καὶ ἀκοῦσαι. δύο γὰρ ἥκειν ἔφη θεοὺς κομίζων, Πειθὼ καὶ Βίαν· οἱ δ' ἔφασαν εἶναι καὶ παρ' αὐτοῖς θεοὺς μεγάλους δύο, Πενίαν καὶ Ἀπορίαν, ὑφ' ὧν κωλύεσθαι δοῦναι χρήματα ἐκείνῳ. Τιμοκρέων δ' ὁ Ῥόδιος μελοποιὸς ἐν ἄ- 2
σματι καθάπτεται πικρότερον τοῦ Θεμιστοκλέους, ὡς ἄλλους μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν, αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον προεμένου δι' ἀργύριον. λέγει δ' οὕτως·

ἀλλ' εἰ τύγε Παυσανίαν ἢ καὶ τύγε Ξάνθιππον αἰνεῖς
ἢ τύγε Λευτυχίδαν, ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω
ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν
ἐλθεῖν ἕνα λῷστον· ἐπεὶ Θεμιστοκλῆ' ἤχθαρε Λατώ, 3
ψεύσταν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἔοντ'
ἀργυρίοις σκυβαλικτοῖσι πεισθεὶς οὐ κατᾶγεν

ηγῶν durch Erpressungen von den nseln zu bereichern versucht, erählt auch Herod. 8, 111. 112., alein die folgende Anekdote erscheint ei Plut. in einem etwas unrichtien Licht: Andros ward auf geeinsamen Beschluss belagert. — *ἷα* von welcher Art auch das ist, en Beweis der ausgesprochnen Beauptung einführend. — *Βίαν*, bei Herodot *Ἀναγκαίη* und *Ἀμηχανίη* t. *Ἀπορία*. — *κωλύεσθαι δοῦναι*, ie gaben auch wirklich nichts, *οἱ Ἕλληνες ἐπεὶ οὐκ οἷοί τε ἐγένοντο ξελέειν τὴν Ἄνδρον ἀπαλλάσσοντο ἐς Σαλαμῖνα.*

2. *δι' ἀργύριον*, Timokr. bechuldigte den Them. durch Geld estochen seine Zurückberufung us der Verbannung hintertrieben zu haben. Die Verse bestehen aus Daktylen und zweiten Epitriten, zum Theil mit vorausgehender Basis (1. 4. 5. 8. 9), v. 7 ist trochäisch. — Pausanias Stolz u. Uebermuth sind bekannt, am Xanthippus hatte Timokr. vielleicht seine Anklage des Miltiades (Herod. 6, 72) auszusetzen, wie am Leotychides seine Bestechung durch die Thessaler, Herod. a. a. O., beide sind berühmt als Sieger bei Mykale. — *ἱερᾶν*, Beiwort Athens schon bei Homer Odyss. 11, 322. — *ἕνα*, Verstärkung des Superlat. wie *unus* im Lat., Virg. Aen. 2, 426: *cadit et Rhipeus, iustissimus unus qui fuit in Teucris.* — *ἤχθαρε Λατώ* weiss ich nicht zu deuten.

3. *ἀργύρια σκυβαλικτά* Dreckgeld. — *κατᾶγεν* z. 11, 1. —

εἰς πάτραν Ἰάλυσον,
λαβὼν δὲ τρὶ' ἀργυρίου τάλαντ' ἔβα πλέων εἰς ὄλεθρον,
τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ καίνων
ἀργυρίων, ὑπόπλεως, Ἴσθμοῖ δὲ πανδοκεὺς γελοίως ψυχρὰ κρέα παρέχων·
οἱ δ' ἤσθιον κηὔχοντο μὴ ὧραν Θεμιστοκλεῦς γενέσθαι·

πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα βλασφημίᾳ κέχρηται μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχή·

Μοῦσα τόνδε τοῦ μέλεος
κλέος ἀν' Ἕλλανας τίθει,
ὡς ἐοικὸς καὶ δίκαιον.

λέγεται δ' ὁ Τιμοκρέων ἐπὶ μηδισμῷ φυγεῖν συγκαταψηφισαμένου τοῦ Θεμιστοκλέους. ὡς οὖν ὁ Θεμιστοκλῆς αἰτίαν ἔσχε μηδίζειν, ταῦτ' ἐποίησεν εἰς αὐτόν·

οὐκ ἄρα Τιμοκρέων μοῦνος ὃς Μήδοισιν ὁρκιατομεῖ
ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροί· οὐκ ἐγὼ μόνα κόλουρις·
ἐντὶ καὶ ἄλλαι ἀλώπεκες,

22. ἤδη δὲ καὶ τῶν πολιτῶν διὰ τὸ φθονεῖν ἡδέως

Ἰάλυσος Stadt der Insel Rhodus. — λαβών, von den Gegnern des Timocr. — ἔβα πλέων εἰς ὄλεθρον, prägnant wird statt des Wunsches, dass er zum Teufel (*in malam rem*) gegangen sein möge, gleich die Realität desselben gesetzt. — Ἴσθμοῖ —, dass es sich hier um einen Vorwurf schmuzigen Geizes (ψυχρὰ κρέα kalte, abgestandne Speisen) handle, lehrt der Zusammenhang; die Begebenheit selbst, auf welche angespielt wird, ist unbekannt. — οἱ, auf das in πανδοκεύς liegende πάντες bezüglich. — μὴ ὧραν γενέσθαι wie μὴ ὧραισιν ἔχοιτο dem Wunsche langen Lebens entgegengesetzte Verwünschung.

4. Μοῦσα —, trochäische Dimeter, die zwei ersten katalektische. — αἰτίαν ἔσχε = ἠτιᾶτο, daher mit dem Infin. ohne Artikel, s. z. 16, 1. — οὐκ ἄρα —, die Verse sind abermals gemischt aus Daktylen und Epitriten. — ὁρκιατομεῖν, *foedus icere*, ζῷα γὰρ ἔτεμνον, τουτέστιν ἐθυσίαζον, ἐπὶ τοῖς ὅρκοις καὶ διαλλαγαῖς, Coraes. — οὐκ ἐγώ —: *non ego solus, quod Persis faverem, in exilium pulsus sum, sed alios etiam propterea solum vertere coegerunt.* Schaefer.

22. 1. πάσχοντες mit κοπιᾶτε zu verbinden = πάσχειν. — Μελίτη, athenisches Stadtviertel von

τὰς διαβολὰς προσιεμένων ἠναγκάζετο λυπηρὸς εἶναι τῶν αὐτοῦ πράξεων πολλάκις ἐν τῷ δήμῳ μνημονεύων· καὶ πρὸς τοὺς δυσχεραίνοντας „Τί κοπιᾶτε“ εἶπεν „ὑπὸ τῶν αὐτῶν πολλάκις εὖ πάσχοντες;“ ἠνίασε δὲ τοὺς πολλοὺς καὶ τὸ τῆς Ἀρτέμιδος ἱερὸν εἰσάμενος, ἣν Ἀριστοβούλην μὲν προσηγόρευσεν, ὡς ἄριστα τῇ πόλει καὶ τοῖς Ἕλλησι βουλευσάμενος, πλησίον δὲ τῆς οἰκίας κατεσκεύασεν ἐν Μελίτῃ τὸ ἱερόν, οὗ νῦν τὰ σώματα τῶν θανατουμένων οἱ δήμιοι προβάλλουσι καὶ τὰ ἱμάτια καὶ τοὺς βρόχους τῶν ἀπαγχομένων καὶ καθαιρεθέντων ἐκφέρουσιν. ἔκειτο δὲ 2 καὶ τοῦ Θεμιστοκλέους εἰκόνιον ἐν τῷ ναῷ τῆς Ἀριστοβούλης ἔτι καθ' ἡμᾶς· καὶ φαίνεταί τις οὐ τὴν ψυχὴν μόνην, ἀλλὰ καὶ τὴν ὄψιν ἡρωϊκὸς γενόμενος. τὸν μὲν οὖν ἐξοστρακισμὸν ἐποιήσαντο κατ' αὐτοῦ κολούοντες τὸ ἀξίωμα καὶ τὴν ὑπεροχήν, ὥσπερ εἰώθεσαν ἐπὶ πάντων, οὓς ᾤοντο τῇ δυνάμει βαρεῖς καὶ πρὸς ἰσότητα δημοκρατικὴν ἀσυμφέρους εἶναι. κόλασις γὰρ οὐκ ἦν ὁ ἐξοστρακισμός, ἀλλὰ παραμυθία φθόνου καὶ κουφισμὸς ἡδομένου τῷ ταπεινοῦν τοὺς ὑπερέχοντας καὶ τὴν δυσμένειαν εἰς ταύτην τὴν τιμίαν ἀποπνέοντος.

**23.** ἐκπεσόντος δὲ τῆς πόλεως αὐτοῦ καὶ διατρίβοντος ἐν Ἄργει τὰ περὶ Παυσανίαν συμπεσόντα κατ'

veifelhafter Lage; vielleicht hiess die ganze Stadtgegend vom heiligen Thore bis zum Museion. — δήμιος oder ὁ δημόσιος stehende phemistische Bezeichnung des nkers. — προβάλλουσι, unbeerdigt blieben zur Schärfung der rafe die Leichname schwerer rbrecher. Selbstmördern (ἀπαγμενοι) ward ein Begräbniss nicht rsagt, aber die rechte Hand abhauen; die Nachricht, dass die eider und Stricke derer, die sich enkt, als unrein an einen bemmten Ort hingeworfen worden, eint sich nur an dieser Stelle zu len. — καθαιρεθέντων, wohl gemein derer, die eines gewaltsamen Todes gestorben, nicht mit βρόχους, sondern mit ἱμάτια zu verbinden.

2. τις z. Cat. maj. 14, 11 und über den Ostracismus z. Arist. 7. Themistokles' Verbannung fällt wahrscheinlich Ol. 76, 1 = 476: sie war eine Folge der eingetretenen Reaktion, des Uebergewichts, welches die aristokratische Partei, Cimon an der Spitze, unter spartanischem Einfluss erlangt hatte.

**23.** 1. ἐν Ἄργει, *Argos habitatum concesit. hic quum propter multas virtutes magna cum dignitate viveret, Lacedaemonii legatos Athenas miserunt, qui eum absentem accusarent, quod socie-*

ἐκείνου παρέσχε τοῖς ἐχθροῖς ἀφορμάς. ὁ δὲ γραψάμενος
αὐτὸν προδοσίας Λεωβότης ἦν Ἀλκμαίωνος Ἀγραύληθεν,
2 ἅμα συνεπαιτιωμένων τῶν Σπαρτιατῶν. ὁ γὰρ Παυσανίας
πράττων ἐκεῖνα δὴ τὰ περὶ τὴν προδοσίαν πρότερον μὲν
ἀπεκρύπτετο τὸν Θεμιστοκλέα, καίπερ ὄντα φίλον· ὡς δ'
εἶδεν ἐκπεπτωκότα τῆς πολιτείας καὶ φέροντα χαλεπῶς,
ἐθάρσησεν ἐπὶ τὴν κοινωνίαν τῶν πραττομένων παρακα-
λεῖν τὰ γράμματα τοῦ βασιλέως ἐπιδεικνύμενος αὐτῷ καὶ
παροξύνων ἐπὶ τοὺς Ἕλληνας, ὡς πονηροὺς καὶ ἀχαρίστους·
ὁ δὲ τὴν μὲν δέησιν ἀπετρίψατο τοῦ Παυσανίου καὶ τὴν
κοινωνίαν ὅλως ἀπείπατο, πρὸς οὐδένα δὲ τοὺς λόγους
ἐξήνεγκεν οὐδὲ κατεμήνυσε τὴν πρᾶξιν, εἴτε παύσασθαι
προσδοκῶν αὐτὸν, εἴτ' ἄλλως καταφανῆ γενέσθαι σὺν οὐδενὶ
3 λογισμῷ πραγμάτων ἀτόπων καὶ παραβόλων ὀρεγόμενον.
οὕτω δὴ τοῦ Παυσανίου θανατωθέντος ἐπιστολαί τινες ἀνευ-
ρεθεῖσαι καὶ γράμματα περὶ τούτων εἰς ὑποψίαν ἐνέβαλον
τὸν Θεμιστοκλέα· καὶ κατεβόων μὲν αὐτοῦ Λακεδαιμόνιοι,
κατηγόρουν δ' οἱ φθονοῦντες τῶν πολιτῶν, οὐ παρόντος
ἀλλὰ διὰ γραμμάτων ἀπολογουμένου μάλιστα ταῖς προτε-

*tatem cum rege Persarum ad Graeciam opprimendam fecisset*, Nep. Them. 8. — *ἐκεῖνος* bei vorhergegangenem *αὐτός* nicht selten von demselben Subj. wo ein dazwischen tretender Name die zuerst genannte Person als entfernter erscheinen lässt oder Zweideutigkeit vermieden werden soll. Romul. 29: *ἱερὸν μὲν οὖν αὐτοῦ ἐστι κατεσκευασμένον ἐν τῷ λόφῳ τῷ Κυρίνῳ προσαγορευομένῳ δι' ἐκεῖνον.* — *Λεωβάτης Ἀλκμαίωνος*, nach Aristid. 25 und mor. 805 c Alkmäon selbst: solche Widersprüche in untergeordneten Thatsachen sind bei Plut. nicht selten und berechtigen nicht zur Annahme eines Textfehlers. — *Ἀγραυλῆθεν*, aus dem Demos *Ἀγραυλή* (so Plut. auch Alcib. 22, bei Andern *Ἀγρυλή*) der Phyle *Ἐρεχθηΐς*.

2. *Παυσανίας* —, das Geschichtliche bei Thucyd. 1, 128 ff. u. Nepos. — *ἀπεκρύπτετο* verbarg sich e Pläne. — *γράμματα*, bei Thucyd. 1, 129. — *τὴν κοινωνίαν* d Theilnahme, zu der er aufgeforde ward. — *ἐπιδεικνύμενος* aufz gend als Beweis, vgl. 2, 6. — *παυσασθαι — γενέσθαι*, nach den a die Zukunft bezüglichen Begriffe hoffen, erwarten, steht im Gr. o der Inf. aor. wo wir den des Fu erwarten.

3. *οὕτω* nicht mit *θανατωθέντος* zu verbinden, sondern: so kam es, dass, als —. *ἐπιστολαί* Billets. — *κατηγόρουν*, von förmlicher gerichtlicher Anklage. — *διὰ γραμμάτων ταῖς προτέραις κατηγορίαις*, schriftlich durch die frühern das Gegentheil der jetzigen Anklage darthuenden Beschuldigungen. — *ἀποδόσθαι*, als ob *ὡς* nicht vorherginge; so noch häufiger nach

ραις κατηγορίαις. διαβαλλόμενος γὰρ ὑπὸ τῶν ἐχθρῶν πρὸς τοὺς πολίτας ἔγραφεν, ὡς ἄρχειν μὲν ἀεὶ ζητῶν, ἄρχεσθαι δὲ μὴ πεφυκὼς μηδὲ βουλόμενος, οὐκ ἄν ποτε βαρβάροις καὶ πολεμίοις αὐτὸν ἀποδόσθαι μετὰ τῆς Ἑλλάδος. οὐ μὴν ἀλλὰ συμπεισθεὶς ὑπὸ τῶν κατηγορούντων ὁ δῆμος ἔπεμψεν ἄνδρας, οἷς εἴρητο συλλαμβάνειν καὶ ἄγειν κριθησόμενον αὐτὸν ἐν τοῖς Ἕλλησιν.

**24.** προαισθόμενος δ' ἐκεῖνος εἰς Κέρκυραν διεπέρασεν, οὔσης αὐτῷ πρὸς τὴν πόλιν εὐεργεσίας. γενόμενος γὰρ αὐτῶν κριτὴς πρὸς Κορινθίους ἐχόντων διαφοράν, ἔλυσε τὴν ἔχθραν εἴκοσι τάλαντα κρίνας τοὺς Κορινθίους καταβαλεῖν καὶ Λευκάδα κοινῇ νέμειν ἀμφοτέρων ἄποικον. ἐκεῖθεν δ' εἰς Ἤπειρον ἔφυγε· καὶ διωκόμενος ὑπὸ τῶν 2
Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων ἔρριψεν αὑτὸν εἰς ἐλπίδας χαλεπὰς καὶ ἀπόρους καταφυγὼν πρὸς Ἄδμητον, ὃς βασιλεὺς μὲν ἦν Μολοττῶν, δεηθεὶς δέ τι τῶν Ἀθηναίων καὶ προπηλακισθεὶς ὑπὸ τοῦ Θεμιστοκλέους, ὅτ' ἤκμαζεν ἐν τῇ πολιτείᾳ, δι' ὀργῆς εἶχεν αὐτὸν ἀεὶ καὶ δῆλος ἦν, εἰ λάβοι, τιμωρησόμενος. ἐν δὲ τῇ τότε τύχῃ μᾶλλον ὁ Θε-

τι. — ἂν ἀποδόσθαι = ἂν ἀπόοιτο. — ἐν τοῖς Ἕλλησιν, Diod. 1, 55: Λακεδαιμόνιοι δεῖν ἔφασαν τῶν κοινῶν τῆς Ἑλλάδος ἀδιημάτων εἶναι τὴν κρίσιν οὐκ ἰδίᾳ παρὰ τοῖς Ἀθηναίοις, ἀλλ' ἐπὶ τοῦ κοινοῦ συνεδρίου ὧν Ἑλλήνων, ὅπερ εἰώθει συνεδρεύειν ἐν τῇ πάρτῃ κατ' ἐκεῖνον τὸν ρόνον.

**24.** 1. διεπέρασεν Ol. 76, 4 = 3. — αὐτῶν in Beziehung auf e Bewohner der Insel, auch Thud. 1, 136 sagt φεύγει ἐς Κέρραν ὧν αὐτῶν εὐεργέτης, wo r Scholiast die εὐεργεσία darauf zieht, dass Them. die Bestrafung r Korcyräer wegen Nichtbetheiung an dem Kampfe gegen die rser verhindert habe. — Λευκάς der Westküste Akarnaniens gelegen, früher Halbinsel, später nach Durchstechung der Landzunge Insel, sonst nur als Kolonie von Korinth, nicht auch von Korcyra, erwähnt.

2. εἰς Ἤπειρον ἔφυγε, den Grund nennt Thucyd. 1, 136: δεδιέναι φασκόντων Κερκυραίων ἔχειν αὐτὸν ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπέχθεσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν ἤπειρον τὴν καταντικρύ. — δεηθείς τι, dies Gesuch giebt der schol. z. Thuc. a. a. O. so an: πέμψαντος γάρ ποτε Ἀδμήτου Ἀθήναζε περὶ συμμαχίας αἰτήσεως, ὁ Θεμιστοκλῆς ἀνέπεισε τὴν πόλιν μὴ δοῦναι αὐτῷ βοήθειαν, καὶ διὰ τοῦτο οὐκ ἦν αὐτῷ φίλος. Gegen Plut. und Thucyd. streitet die Angabe des Nepos 8: ad Admetum Molossorum regem, cum quo ei hospi-

μιστοκλῆς φοβηθεὶς συγγενῆ καὶ πρόσφατον φθόνον ὀργῆς παλαιᾶς καὶ βασιλικῆς, ταύτῃ φέρων ὑπέθηκεν ἑαυτὸν ἱκέτης τοῦ Ἀδμήτου καταστὰς ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον. ἔχων γὰρ αὐτοῦ τὸν υἱὸν ὄντα παῖδα πρὸς τὴν ἑστίαν προσέπεσε, ταύτην μεγίστην καὶ μόνην σχεδὸν ἀναν-
3 τίρρητον ἡγουμένων ἱκεσίαν τῶν Μολοττῶν. ἔνιοι μὲν οὖν Φθίαν τὴν γυναῖκα τοῦ βασιλέως λέγουσιν ὑποθέσθαι τῷ Θεμιστοκλεῖ τὸ ἱκέτευμα τοῦτο καὶ τὸν υἱὸν ἐπὶ τὴν ἑστίαν καθίσαι μετ' αὐτοῦ· τινὲς δ' αὐτὸν τὸν Ἄδμητον, ὡς ἀφοσιώσαιτο πρὸς τοὺς διώκοντας τὴν ἀνάγκην, δι' ἣν οὐκ ἐκδίδωσι τὸν ἄνδρα, διαθεῖναι καὶ συντραγῳδῆσαι τὴν ἱκεσίαν. ἐκεῖ δ' αὐτῷ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν· ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος. εἴτ' οὐκ οἶδ' ὅπως ἐπιλαθόμενος τούτων ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον πλεῦσαί φησιν εἰς Σικελίαν καὶ παρ' Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν θυγατέρα πρὸς γάμον ὑπισχνούμενον αὐτῷ τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν· ἀποστρεψαμένου δὲ τοῦ Ἱέρωνος, οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι.

**25.** ταῦτα δ' οὐκ εἰκός ἐστιν οὕτω γενέσθαι. Θεόφραστος γὰρ ἐν τοῖς Περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστο-

*tium erat, confugit.* — *υἱόν, filiam parvulam,* Nepos. — *μεγίστην ἱκεσίαν* Prädikat zu *ταύτην*, der Ausdruck nach Thucyd.: *καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο.*

3. *ἔνιοι*, so auch Thucydides. — *ἀφοσιοῦσθαι* religiöses Bedenken vorschützen. — *διαθεῖναι* zurichten. — *συντραγῳδῆσαι, συμμεχανήσασθαι, συνυποκρίνασθαι, ἀπὸ μεταφορᾶς τῶν ὑποκρινομένων τραγῳδῶν*, Coraes. — *ἐκεῖ* auf den Ort als Aufenthaltsort des Them. bezogen, nicht auf die Richtung der Sendung. — *Ἀχαρνεύς*, aus dem Demos *Ἀχαρναί* der Phyle *Οἰνηΐς* — *ποιῶν ἐπιλαθόμενον* ironisirt die schon wegen ihres innern Widerspruchs unglaubliche Nachricht. — *οὕτως* markirt den Inhalt des Vorhergehenden hervorhebend (dann erst) den Nachsatz, vgl. 25, 2.

**25.** 1. Hiero der ältere, anfänglich Herrscher von Gela, seit Ol. 75, 3 von Syrakus, als Freund musischer Künste berühmt durch den Umgang mit Dichtern wie Simonides, Bacchylides, Pindar, gewann den Sieg mehrmals in den Olympien und Pythien; der hier erwähnte Vorfall kann Statt gehabt haben Ol. 76. Die Theilnahme an den Olympien erstreckte sich über alle Griechen in Kleinasien, Sicilien, Grossgriechenland. — *ἵππους ἀγω-*

κλέα πέμψαντος εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστὰς καὶ σκηνήν τινα κατεσκευασμένην πολυτελῶς στήσαντος, εἰπεῖν ἐν τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ τυράννου καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι. Θουκυδίδης δέ φησι καὶ πλεῦσαι αὐτὸν ἐπὶ τὴν ἑτέραν καταβάντα θάλατταν ἀπὸ Πύδνης, οὐδενὸς εἰδότος ὅστις εἴη τῶν πλεόντων, μέχρις οὗ πνεύματι τῆς ὁλκάδος εἰς Νάξον καταφερομένης ὑπὸ Ἀθηναίων πολιορκουμένην τότε φοβηθεὶς ἀναδείξειεν ἑαυτὸν τῷ τε ναυκλήρῳ καὶ τῷ κυβερνήτῃ· καὶ τὰ μὲν δεόμενος, τὰ δ' ἀπειλῶν καὶ λέγων, 2
ὅτι κατηγορήσοι καὶ καταψεύσοιτο πρὸς τοὺς Ἀθηναίους, ὡς οὐκ ἀγνοοῦντες, ἀλλὰ χρήμασι πεισθέντες ἐξ ἀρχῆς, ἀναλάβοιεν αὐτὸν, οὕτως ἀναγκάσειε παραπλεῦσαι καὶ λαβέσθαι τῆς Ἀσίας. τῶν δὲ χρημάτων αὐτῷ πολλὰ μὲν ὑπεκκλαπέντα διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει, τῶν δὲ φανερῶν γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον Θεόπομπος μὲν ἑκατὸν τάλαντα, Θεόφραστος δὲ ὀγδοήκοντά φησι γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους πρὶν ἅπτεσθαι τῆς πολιτείας.

**26.** ἐπεὶ δὲ κατέπλευσεν εἰς Κύμην καὶ πολλοὺς ἤσθετο τῶν ἐπὶ θαλάττῃ παραφυλάττοντας αὐτὸν λαβεῖν, ἰάλιστα δὲ τοὺς περὶ Ἐργοτέλη καί Πυθόδωρον (ἦν γὰρ

ἱστάς zum Wagenrennen mit dem Viergespann. — τοῦ τυράννου giebt mit Nachdruck den Grund des Raths an. — καί (vor πλεῦσαι) geht nicht auf ein einzelnes Wort, sondern auf den ganzen Gedanken; Thucyd. 1, 137) giebt auch ausdrücklich eine andere die Möglichkeit jenes alls ausschliessende Reiseroute an. — τὴν ἑτέραν das ägäische, im Gegensatz zum ionischen. — Pydna Stadt Macedoniens. — Νάξον — πολιορκουμένην Ol. 76, 4 473. Naxos weigerte sich die Bundespflicht zu erfüllen, Thuc. 1, 98: πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεστηκὸς ἐδουλώθη.

2. λέγων — Thuc. a. a. O.: εἰ μὴ δώσει αὐτὸν ἔφη ἐρεῖν, ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει. — — οὕτως z. 24, 3. — ὑπεκκλαπέντα, denn das Vermögen des Hochverräthers verfiel der Confiscation; doch hatte Them. für solchen Fall schon gesorgt, ἦλθε γὰρ αὐτῷ (χρήματα) ὕστερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων καὶ ἐξ Ἄργους ἃ ὑπεξέκειτο, Thuc. — οὐδὲ τριῶν —, 3 Talente väterlichen Vermögens zu Anfang seiner politischen Laufbahn erwähnt Critias bei Aelian. v. h. 10, 17. — ἅπτεσθαι z. 3, 1.

**26.** 1. Κύμη Stadt in Aeolis mit einem Hafen. — τοὺς περὶ Ἐργοτέλη

ἡ Θήρα λυσιτελὴς τοῖς τὸ κερδαίνειν ἀπὸ παντὸς ἀγαπῶσι
διακοσίων ἐπικεκηρυγμένων αὐτῷ ταλάντων ὑπὸ τοῦ βασι
λέως), ἔφυγεν εἰς Αἰγὰς, Αἰολικὸν πολισμάτιον, ὑπὸ πάν
των ἀγνοούμενος πλὴν τοῦ ξένου Νικογένους, ὃς Αἰολέω
πλείστην οὐσίαν ἐκέκτητο καὶ τοῖς ἄνω δυνατοῖς γνώριμο
ὑπῆρχε. παρὰ τούτῳ κρυπτόμενος ἡμέρας ὀλίγας διέτρι
ψεν· εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινὸς Ὄλβιος ὁ τῶ
τέκνων τοῦ Νικογένους παιδαγωγὸς ἔκφρων γενόμενος κα
θεοφόρητος ἀνεφώνησε μέτρῳ ταυτὶ

νυκτὶ φωνὴν, νυκτὶ βουλὴν, νυκτὶ τὴν νίκην δίδου.

2 καὶ μετὰ ταῦτα κοιμηθεὶς ὁ Θεμιστοκλῆς ὄναρ ἔδοξεν ἰδεῖ
δράκοντα κατὰ τῆς γαστρὸς αὐτοῦ περιελιττόμενον κα
προσανέρποντα τῷ τραχήλῳ· γενόμενον δ' ἀετὸν, ὡς ἥψατ
τοῦ προσώπου, περιβαλόντα τὰς πτέρυγας ἐξᾶραι καὶ κο
μίζειν πολλὴν ὁδὸν, εἶτα χρυσοῦ τινος κηρυκείου φανέντος
ἐπὶ τούτου στῆσαι βεβαίως αὐτὸν ἀμηχάνου δείματος κα
ταραχῆς ἀπαλλαγέντα. πέμπεται δ' οὖν ὑπὸ τοῦ Νικογέ
νους μηχανησαμένου τι τοιοῦτον. τοῦ βαρβαρικοῦ γένου
τὸ πολὺ καὶ μάλιστα τὸ Περσικὸν εἰς ζηλοτυπίαν τὴν περ
3 τὰς γυναῖκας ἄγριον φύσει καὶ χαλεπόν ἐστιν. οὐ γὰρ μό

= Ἐργοτέλη, die hier als notorische erwähnten Personen sind nicht weiter bekannt. — κερδαίνειν ἀπὸ παντός, ohne Rücksicht ob ehrenhaft oder nicht. Soph. Antig. 312: οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν. — ἐπικεκηρυγμένων, ἐπικήρυξις· ὅταν πόλις ἐχθρὸν ἔχουσά τινα ἐπιβουλεύοντα αὐτῇ βούληται αὐτὸν ἀνελεῖν, χρήματα κηρύττει δοῦναι τῷ ἀνελόντι αὐτόν, Ulpian. — Νικογένους, Λυσιθείδης nennt ihn Diodor. 11, 56 mit folgendem Zusatz: ἐτύγχανε φίλος ὢν Ξέρξου τοῦ βασιλέως καὶ κατὰ τὴν διάβασιν τοῦ Ξέρξου τὴν δύναμιν τῶν Περσῶν ἅπασαν εἱστιακώς· διόπερ συνήθειαν μὲν ἔχων πρὸς τὸν βασιλέα, τὸν δὲ Θεμιστοκλέα διὰ τὸν ἔλεον σῶσαι βουλόμενος, ἐπηγγείλατο αὐτῷ πάντα συμπρᾶξαι. — ἐκ θυσίας erklärt die Inspiration des Menschen. — νυκτί —, katalektischer trochäischer Tetrameter; Sinn: Folge der Anleitung des nächtlichen Traums zum glücklichen Gelingen.

2. Die in einem Traum nicht zu wunderliche Metamorphose der Schlange in einen Adler grade in entscheidenden Moment (ὡς ἥψατο τοῦ προσώπου) deutet den plötzlichen Umschlag der kritischen Lage des Them. an. — κηρυκείου, ἔστι ξύλον ὀρθὸν ἔχον ἑκατέρωθεν ὄφεις περιπεπλεγμένους καὶ ἀντιπροσώπους πρὸς ἀλλήλους κεκαμένους, schol. Thucyd. 1, 53. —

νον τὰς γαμετὰς, ἀλλὰ καὶ τὰς ἀργυρωνήτους καὶ παλλακευομένας ἰσχυρῶς παραφυλάττουσιν, ὡς ὑπὸ μηδενὸς ὁρᾶσθαι τῶν ἐκτὸς, ἀλλ' οἴκοι μὲν διατᾶσθαι κατακεκλεισμένας, ἐν δὲ ταῖς ὁδοιπορίαις ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας ἐπὶ τῶν ἁρμαμαξῶν ὀχεῖσθαι. τοιαύτης τῷ Θεμιστοκλεῖ κατασκευασθείσης ἀπήνης καταδὺς ἐκομίζετο, τῶν περὶ αὐτὸν ἀεὶ τοῖς ἐντυγχάνουσι καὶ πυνθανομένοις λεγόντων, ὅτι γύναιον Ἑλληνικὸν ἄγουσιν ἀπ' Ἰωνίας πρός τινα τῶν ἐπὶ θύραις βασιλέως.

**27.** Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν· Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις. ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινὸν ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ λέγων, Ἕλλην μὲν εἶναι, βούλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ μεγίστων πραγμάτων καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπουδάζων ἐκεῖνος. ὁ δὲ φησιν· „Ὦ ξένε, νόμοι 2
διαφέρουσιν ἀνθρώπων· ἄλλα δ' ἄλλοις καλά· καλὸν δὲ

δ' οὖν nimmt die Erzählung des Historischen wieder auf.

3. ὡς = ὥστε, bei ältern Schriftstellern vereinzelt, bei spätern häufiger. — ὑπό so mit dem Accus. selten. — σκηνάς, Xenoph. Cyrop. 6, 4, 11: οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι λαβοῦσαι ἀπῆγον αὐτὴν εἰς τὴν ἁρμάμαξαν καὶ καταβλίναντες κατεκάλυψαν τῇ σκηνῇ, was Pollux 10, 52 durch ἐστεγασμένον μέρος τῆς ἁμάξης erklärt. — κύκλῳ περιπεφραγμένας ringsum mit Vorhängen zum Aufziehen und Verschliessen versehen. — τῶν ἐπὶ θύραις der königlichen Hofbedienten; θύραι (hohe Pforte) gewöhnliche Bezeichnung des Persischen Hofes.

**27.** 1. τεθνηκότος, um Ol. 76¾ = 473. — τοῖς χρονικοῖς —, der Sinn muss, wie es scheint, dieser sein: die Angabe des Thucyd. stimmt besser mit der Chronologie, obgleich auch diese nicht vollständig sicher ist. Indessen ist der Gebrauch von ἀτρέμα bedenklich und das Präsens συνταττομένοις auffallend. — δ' οὖν z. 26, 2. — ἐντυγχάνειν stehend vom Zutritt (Audienz) bei Höheren. — χιλιάρχῳ, Nepos Con. 3: *Conon — primum ex more Persarum ad chiliarchum, qui secundum gradum imperii tenebat, Tithraustem, accessit seque ostendit cum rege colloqui velle: nemo enim sine hoc admittitur.*

2. δ' ἄλλοις, δ' auf den in διαφέρουσι verneinten Begriff (z. 11,

ἡ Θήρα λυσιτελὴς τοῖς τὸ κερδαίνειν ἀπὸ παντὸς ἀγαπῶσι, διακοσίων ἐπικεκηρυγμένων αὐτῷ ταλάντων ὑπὸ τοῦ βασιλέως), ἔφυγεν εἰς Αἰγὰς, Αἰολικὸν πολισμάτιον, ὑπὸ πάντων ἀγνοούμενος πλὴν τοῦ ξένου Νικογένους, ὃς Αἰολέων πλείστην οὐσίαν ἐκέκτητο καὶ τοῖς ἄνω δυνατοῖς γνώριμος ὑπῆρχε. παρὰ τούτῳ κρυπτόμενος ἡμέρας ὀλίγας διέτριψεν· εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινὸς Ὄλβιος ὁ τῶν τέκνων τοῦ Νικογένους παιδαγωγὸς ἔκφρων γενόμενος καὶ θεοφόρητος ἀνεφώνησε μέτρῳ ταυτὶ

νυκτὶ φωνὴν, νυκτὶ βουλὴν, νυκτὶ τὴν νίκην δίδου.

2 καὶ μετὰ ταῦτα κοιμηθεὶς ὁ Θεμιστοκλῆς ὄναρ ἔδοξεν ἰδεῖν δράκοντα κατὰ τῆς γαστρὸς αὐτοῦ περιελιττόμενον καὶ προσανέρποντα τῷ τραχήλῳ· γενόμενον δ' ἀετὸν, ὡς ἥψατο τοῦ προσώπου, περιβαλόντα τὰς πτέρυγας ἐξᾶραι καὶ κομίζειν πολλὴν ὁδὸν, εἶτα χρυσοῦ τινος κηρυκείου φανέντος, ἐπὶ τούτου στῆσαι βεβαίως αὐτὸν ἀμηχάνου δείματος καὶ ταραχῆς ἀπαλλαγέντα. πέμπεται δ' οὖν ὑπὸ τοῦ Νικογένους μηχανησαμένου τι τοιοῦτον. τοῦ βαρβαρικοῦ γένους τὸ πολὺ καὶ μάλιστα τὸ Περσικὸν εἰς ζηλοτυπίαν τὴν περὶ
3 τὰς γυναῖκας ἄγριον φύσει καὶ χαλεπόν ἐστιν. οὐ γὰρ μό-

= Ἐργοτέλη, die hier als notorische erwähnten Personen sind nicht weiter bekannt. — κερδαίνειν ἀπὸ παντός, ohne Rücksicht ob ehrenhaft oder nicht. Soph. Antig. 312: οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν. — ἐπικεκηρυγμένων, ἐπικήρυξις· ὅταν πόλις ἐχθρὸν ἔχουσά τινα ἐπιβουλεύοντα αὐτῇ βούληται αὐτὸν ἀνελεῖν, χρήματα κηρύττει δοῦναι τῷ ἀνελόντι αὐτόν, Ulpian. — Νικογένους, Λυσιθείδης nennt ihn Diodor. 11, 56 mit folgendem Zusatz: ἐτύγχανε φίλος ὢν Ξέρξου τοῦ βασιλέως καὶ κατὰ τὴν διάβασιν τοῦ Ξέρξου τὴν δύναμιν τῶν Περσῶν ἅπασαν εἱστιακώς· διόπερ συνήθειαν μὲν ἔχων πρὸς τὸν βασιλέα, τὸν δὲ Θεμιστοκλέα διὰ τὸν ἔλεον σῶσαι βουλόμενος, ἐπηγγείλατο αὐτῷ πάντα συμπρᾶξαι. — ἐκ θυσίας erklärt die Inspiration des Menschen. — νυκτί —, katalektischer trochäischer Tetrameter; Sinn Folge der Anleitung des nächtlichen Traums zum glücklichen Gelingen.

2. Die in einem Traum nicht r wunderliche Metamorphose de Schlange in einen Adler grade is entscheidenden Moment (ὡς ἥψατο τοῦ προσώπου) deutet den plötzlichen Umschlag der kritischen Lage des Them. an. — κηρυκείου, ἔστι ξύλον ὀρθὸν ἔχον ἑκατέρωθεν δύο ὄφεις περιπεπλεγμένους καὶ ἀντιπροσώπους πρὸς ἀλλήλους κειμένους, schol. Thucyd. 1, 53. —

νον τὰς γαμετὰς, ἀλλὰ καὶ τὰς ἀργυρωνήτους καὶ παλλακευομένας ἰσχυρῶς παραφυλάττουσιν, ὡς ὑπὸ μηδενὸς ὁρᾶσθαι τῶν ἐκτὸς, ἀλλ' οἴκοι μὲν διατᾶσθαι κατακεκλεισμένας, ἐν δὲ ταῖς ὁδοιπορίαις ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας ἐπὶ τῶν ἁρμαμαξῶν ὀχεῖσθαι. τοιαύτης τῷ Θεμιστοκλεῖ κατασκευασθείσης ἀπήνης καταδὺς ἐκομίζετο, τῶν περὶ αὐτὸν ἀεὶ τοῖς ἐντυγχάνουσι καὶ πυνθανομένοις λεγόντων, ὅτι γύναιον Ἑλληνικὸν ἄγουσιν ἀπ' Ἰωνίας πρός τινα τῶν ἐπὶ θύραις βασιλέως.

**27.** Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν· Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις. ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινὸν ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ λέγων, Ἕλλην μὲν εἶναι, βούλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ μεγίστων πραγμάτων καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπουδάζων ἐκεῖνος. ὁ δέ φησιν· „Ὦ ξένε, νόμοι 2
διαφέρουσιν ἀνθρώπων· ἄλλα δ' ἄλλοις καλά· καλὸν δὲ

δ' οὖν nimmt die Erzählung des Historischen wieder auf.

3. ὡς = ὥστε, bei ältern Schriftstellern vereinzelt, bei spätern häufiger. — ὑπό so mit dem Accus. selten. — σκηνάς, Xenoph. Cyrop. 8, 4, 11: οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι λαβοῦσαι ἀπῆγον αὐτὴν εἰς τὴν ἁρμάμαξαν καὶ κατακλίαντες κατεκάλυψαν τῇ σκηνῇ, was Pollux 10, 52 durch ἐστεγασμένον μέρος τῆς ἁμάξης erklärt. — ὑκλῳ περιπεφραγμένας ringsum mit Vorhängen zum Aufziehen und erschliessen versehen. — τῶν ἐπὶ ὑραις der königlichen Hofbedienten; θύραι (hohe Pforte) gewöhnliche Bezeichnung des Persischen Hofes.

**27.** 1. τεθνηκότος, um Ol. 76¾ = 473. — τοῖς χρονικοῖς —, der Sinn muss, wie es scheint, dieser sein: die Angabe des Thucyd. stimmt besser mit der Chronologie, obgleich auch diese nicht vollständig sicher ist. Indessen ist der Gebrauch von ἀτρέμα bedenklich und das Präsens συνταττομένοις auffallend. — δ' οὖν z. 26, 2. — ἐντυγχάνειν stehend vom Zutritt (Audienz) bei Höheren. — χιλιάρχῳ, Nepos Con. 3: *Conon — primum ex more Persarum ad chiliarchum, qui secundum gradum imperii tenebat, Tithraustem, accessit seque ostendit cum rege colloqui velle: nemo enim sine hoc admittitur.*

2. δ' ἄλλοις, δ' auf den in διαφέρουσι verneinten Begriff (z. 11,

πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν. ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα λόγος· ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν ὄντων κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα καὶ προσκυνεῖν ὡς εἰκόνα θεοῦ τοῦ τὰ πάντα σώζοντος. εἰ μὲν οἷν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις, ἔστι σοὶ καὶ θεάσασθαι βασιλέα καὶ προσειπεῖν· εἰ δ' ἄλλο τι φρονεῖς ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς αὐτόν. βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος." ταῦτα ὁ Θεμιστοκλῆς ἀκούσας λέγει πρὸς αὐτόν· „Ἀλλ' ἔγωγε τὴν βασιλέως, ὦ Ἀρτάβανε, φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ θεῷ τῷ μεγαλύνοντι Πέρσας οὕτω δοκεῖ, καὶ δι' ἐμὲ πλείονες τῶν νῦν βασιλέα προσκυνήσουσιν, 3 ὥστε τοῦτο μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις, οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν." „Τίνα δ'" εἶπεν ὁ Ἀρτάβανος „Ἑλλήνων ἀφῖχθαί σε φῶμεν; οὐ γὰρ ἰδιώτῃ τὴν γνώμην ἔοικας." καὶ ὁ Θεμιστοκλῆς· „Τοῦτ' οὐκέτ' ἂν" ἔφη „πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως." οὕτω μὲν ὁ Φανίας φησίν. ὁ δ' Ἐρατοσθένης ἐν τοῖς Περὶ πλούτου προσιστόρησε, διὰ γυναικὸς Ἐρετρικῆς, ἣν ὁ χιλίαρχος εἶχε, τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν.

**28.** ἐπεὶ δ' οὖν εἰσήχθη πρὸς βασιλέα καὶ προσκυνήσας ἔστη σιωπῇ, προστάξαντος τῷ ἑρμηνεῖ τοῦ βασιλέως ἐρωτῆσαι, τίς ἐστι, καὶ τοῦ ἑρμηνέως ἐρωτήσαντος, εἶπεν

2) der Gleichheit bezüglich. — τὰ οἰκεῖα die vaterländischen Gebräuche. — κοσμεῖν in Ehren halten, mehr als σώζειν. — προσκυνεῖν (*venerari* Nep. Con. 3), sich aufs Antlitz vor dem König niederwerfen und den Boden küssen, Aelian v. h. 1, 21: νόμος ἐστὶν ἐπιχώριος Πέρσαις τὸν εἰς ὀφθαλμοὺς ἐλθόντα τοῦ βασιλέως μὴ πρότερον λόγου μεταλαγχάνειν πρὶν ἢ προσκυνῆσαι αὐτόν. — ἐπαινῶν gut heissend durch die That. — ἀγγέλοις ἑτέροις als Boten Andere. — χρήσῃ imperativisch, in affirmativer Rede seltner.

3. οὐκέτι versagt weitere Erklärung. — ἔντευξις *aditus*, σύστασις *conventus*.

**28.** 1. Die Schilderung der persönlichen Zusammenkunft mit dem König ist offenbar eine etwas theatralische Ausschmückung späterer Zeit; Themist. wandte sich in einem Brief an den König, de

„Ἥκω σοι, βασιλεῦ, Θεμιστοκλῆς ὁ Ἀθηναῖος ἐγὼ φυγὰς ὑφ' Ἑλλήνων διωχθείς, ᾧ πολλὰ μὲν ὀφείλουσι κακὰ Πέρσαι, πλείω δὲ ἀγαθὰ κωλύσαντι τὴν δίωξιν, ὅτε τῆς Ἑλλάδος ἐν ἀσφαλεῖ γενομένης παρέσχε τὰ οἴκοι σωζόμενα χαρίσασθαί τι καὶ ὑμῖν. ἐμοὶ μὲν οὖν πάντα πρέποντα ταῖς παρούσαις συμφοραῖς ἐστι, καὶ παρεσκευασμένος ἀφῖγμαι δέξασθαί τε χάριν εὐμενῶς διαλλαττομένου καὶ παραιτεῖσθαι μνησικακοῦντος ὀργήν. σὺ δὲ τοὺς ἐμοὺς ἐχθροὺς 2 μάρτυρας θέμενος ὧν εὐεργέτησα Πέρσας νῦν ἀπόχρησαι ταῖς ἐμαῖς τύχαις πρὸς ἐπίδειξιν ἀρετῆς μᾶλλον ἢ πρὸς ἀποπλήρωσιν ὀργῆς. σώσεις μὲν γὰρ ἱκέτην σὸν, ἀπολεῖς δ' Ἑλλήνων πολέμιον γενόμενον.“ ταῦτ' εἰπὼν ὁ Θεμιστοκλῆς ἐπεθείασε τῷ λόγῳ προσδιελθὼν τὴν ὄψιν, ἣν εἶδεν ἐν Νικογένους, καὶ τὸ μάντευμα τοῦ Δωδωναίου Διὸς, ὡς κελευσθεὶς πρὸς τὸν ὁμώνυμον τοῦ θεοῦ βαδίζειν συμφρονήσειε πρὸς ἐκεῖνον ἀναπέμπεσθαι· μεγάλους γὰρ ἀμφοτέρους εἶναί τε καὶ λέγεσθαι βασιλέας. ἀκούσας δ' ὁ Πέρσης, ἐκείνῳ μὲν οὐδὲν ἀπεκρίνατο, καίπερ θαυμάσας τὸ φρόνημα καὶ τὴν τόλμαν αὐτοῦ· μακαρίσας δὲ πρὸς τοὺς φίλους ἑαυτὸν ὡς ἐπ' εὐτυχίᾳ μεγίστῃ καὶ κατευξάμενος ἀεὶ τοῖς πολεμίοις τοιαύτας φρένας διδόναι τὸν Ἀριμάνιον, ὅπως ἐλαύνωσι τοὺς ἀρίστους ἐξ ἑαυτῶν, θῦσαί τε τοῖς θεοῖς λέγεται καὶ πρὸς πόσιν εὐθὺς τραπέσθαι καὶ νύκτωρ ὑπὸ χαρᾶς διὰ μέσων τῶν ὕπνων βοῆσαι τρὶς „Ἔχω Θεμιστοκλέα τὸν Ἀθηναῖον.“

von Thuc. 1, 137 erhalten im Wesentlichen mit dem angeblichen Gespräch übereinstimmt. — *τίς ἐστι*, die Frage tritt durch das direkte *τίς* und den Indikativ aus der Abhängigkeit heraus. — *ἥκω σοι* sagt mehr als das Thucydideische *ἥκω παρὰ σέ*. — *τὴν δίωξιν* s. c. 16. — *σωζόμενα* = *σῶα ὄντα*. — *τάντα — συμφοραῖς* d. h. ich bin bei meiner jetzigen Lage auf alles, selbst das Schlimmste, gefasst.

2. *εὐεργέτησα Πέρσας, διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν*, Thuc. — *ἐπεθείασε τῷ λόγῳ* fügte seinen Worten die Bestätigung der Gottheit hinzu. — *ἐν Νικογένους*, so verhältnissmässig selten bei Plut. — *μάντευμα*, sonst nirgends erwähnt. — *εἶναί τε καὶ λέγεσθαι*, Uebereinstimmung von Wesen und Namen, z. 2, 4. — *τὸ φρόνημα, huius rex animi magnitudinem admirans*, Nep. Them. 10. — *Ἀριμάνιος* Hauptgottheit des Bösen bei den Persern

**29.** ἅμα δ' ἡμέρᾳ συγκαλέσας τοὺς φίλους εἰσῆγεν αὐτὸν μηδὲν ἐλπίζοντα χρηστὸν ἐξ ὧν ἑώρα τοὺς ἐπὶ θύραις, ὡς ἐπύθοντο τοὔνομα παρόντος αὐτοῦ, χαλεπῶς διακειμένους καὶ κακῶς λέγοντας. ἔτι δὲ Ῥωξάνης ὁ χιλίαρχος, ὡς κατ' αὐτὸν ἦν ὁ Θεμιστοκλῆς προσιὼν, καθημένου βασιλέως καὶ τῶν ἄλλων σιωπώντων, ἀτρέμα στενάξας εἶπεν „Ὄφις Ἕλλην ὁ ποικίλος, ὁ βασιλέως σε δαίμων δεῦρο ἤγαγεν.“ οὐ μὴν ἀλλ' εἰς ὄψιν ἐλθόντος αὐτοῦ καὶ πάλιν προσκυνήσαντος ἀσπασάμενος καὶ προσειπὼν φιλοφρόνως ὁ βασιλεὺς, ἤδη μὲν ἔφησεν αὐτῷ διακόσια τάλαντα ὀφείλειν· κομίσαντα γὰρ αὐτὸν ἀπολήψεσθαι δικαίως τὸ ἐπικηρυχθὲν τῷ ἀγαγόντι· πολλῷ δὲ πλείω τούτων ὑπισχνεῖτο καὶ παρεθάρρυνε καὶ λέγειν ἐκέλευε περὶ
2 τῶν Ἑλληνικῶν ἃ βούλοιτο παρρησιαζόμενον. ὁ δὲ Θεμιστοκλῆς ἀπεκρίνατο, τὸν λόγον ἐοικέναι τοῦ ἀνθρώπου τοῖς ποικίλοις στρώμασιν· ὡς γὰρ ἐκεῖνα καὶ τοῦτον ἐκτεινόμενον μὲν ἐπιδείκνυσθαι τὰ εἴδη, συστελλόμενον δὲ κρύπτειν καὶ διαφθείρειν· ὅθεν αὐτῷ χρόνου δεῖν. ἐπεὶ δ', ἡσθέντος τοῦ βασιλέως τῇ εἰκασίᾳ καὶ λαμβάνειν κελεύσαντος ἐνιαυτὸν αἰτησάμενος καὶ τὴν Περσίδα γλῶτταν ἀποχρώντως ἐκμαθὼν ἐνετύγχανε βασιλεῖ δι' αὐτοῦ, τοῖς μὲν ἐκτὸς δόξαν παρέσχε περὶ τῶν Ἑλληνικῶν πραγμάτων διειλέχθαι· πολλῶν δὲ καινοτομουμένων περὶ τὴν αὐλὴν

im Gegensatz zu Ormuzd, dem Princip des Guten.

**29.** 1. ἐξ ὧν eigentlich: nach dem, was er sah, nämlich dass —, einer Konjunktion (ὅτι) sinngleich. — ἔτι steigert die Angabe des Unwillens der Höflinge durch einen noch stärkeren Beweis. — κατ' αὐτόν ihm gegenüber, vor ihm. — προσιών, πρὸς βασιλέα. — ὄφις Ἕλλην, der Nominat. ist appositives Prädikat der durch die Anrede angedeuteten Person (σύ). — οὐ μὴν ἀλλ' nicht jedoch ward seine Befürchtung gerechtfertigt, sondern. — ἤδη z. 12, 2. — τὸ ἐπικηρυχθέν s. c. 26. — τῷ ἀγαγόντι dem, der ihn gebracht habe, würde.

2. ὡς — καί, Num. 8: μέγα γὰρ ἦν μέρος ὡς ἐκείνῳ τῆς φιλοσοφίας καὶ τούτῳ τῆς πολιτείας περὶ τὸ θεῖον ἀγιστεία. — ἐπιδείξασθαι τὰ εἴδη zeige seine Bilder. — διαφθείρειν lasse zu Grunde gehen, zerstöre die Wirkung: so auch die durch einen Dollmetscher zusammengedrängte unvollkommen wiedergegebne Rede. — ἀποχρώντως, τῆς Περσίδος γλώσσης ὅσα ἐδύνατο κατενοήσε

καὶ τοὺς φίλους ὑπὸ τοῦ βασιλέως ἐν ἐκείνῳ τῷ καιρῷ, φθόνον ἔσχε παρὰ τοῖς δυνατοῖς, ὡς καὶ κατ' ἐκείνων παρρησίᾳ χρήσασθαι πρὸς αὐτὸν ἀποτετολμηκώς. οὐδὲν γὰρ 3
ἦσαν αἱ τιμαὶ ταῖς τῶν ἄλλων ἐοικυῖαι ξένων, ἀλλὰ καὶ κυνηγεσίων βασιλεῖ μετέσχε καὶ τῶν οἴκοι διατριβῶν, ὥστε καὶ μητρὶ τῇ βασιλέως εἰς ὄψιν ἐλθεῖν καὶ γενέσθαι συνήθης, διακοῦσαι δὲ καὶ τῶν μαγικῶν λόγων τοῦ βασιλέως κελεύσαντος. ἐπεὶ δὲ Δημάρατος ὁ Σπαρτιάτης αἰτήσασθαι δωρεὰν κελευσθεὶς ᾔτήσατο τὴν κίταριν, ὥσπερ οἱ βασιλεῖς, ἐπαράμενος εἰσελάσαι διὰ Σάρδεων, Μιθροπαύστης μὲν ἀνεψιὸς ὢν βασιλέως εἶπε τοῦ Δημαράτου τῆς τιάρας ἁψάμενος· „Αὕτη μὲν ἡ κίταρις οὐκ ἔχει ἐγκέφαλον, ὃν ἐπικαλύψει· σὺ δ' οὐκ ἔσῃ Ζεὺς ἂν λάβῃς κεραυνόν." ἀπωσαμένου δὲ τὸν Δημάρατον ὀργῇ διὰ τὸ αἴτημα 4
τοῦ βασιλέως καὶ δοκοῦντος ἀπαραιτήτως ἔχειν πρὸς αὐτὸν, ὁ Θεμιστοκλῆς δεηθεὶς ἔπεισε καὶ διήλλαξε. λέγεται δὲ καὶ τοὺς ὕστερον βασιλεῖς, ἐφ' ὧν μᾶλλον αἱ Περσικαὶ πράξεις ταῖς Ἑλληνικαῖς ἀνεκράθησαν, ὁσάκις δεηθεῖεν ἀνδρὸς Ἕλληνος, ἐπαγγέλλεσθαι καὶ γράφειν ἕκαστον, ὡς μείζων ἔσοιτο παρ' αὐτῷ Θεμιστοκλέους. αὐτὸν δὲ τὸν Θεμιστοκλέα φασὶν ἤδη μέγαν ὄντα καὶ θεραπευόμενον ὑπὸ πολλῶν λαμπρᾶς ποτε τραπέζης αὐτῷ παρατεθείσης πρὸς τοὺς παῖδας εἰπεῖν· „Ὦ παῖδες, ἀπωλόμεθα ἂν, εἰ

sagt Thucyd. 1, 138, mit ungebührlicher Uebertreibung Nepos 10: *litteris sermonique Persarum se dedidit, quibus adeo eruditus est, ut multo commodius dicatur apud regem verba fecisse quam ii poterant qui in Perside erant nati.* — *δι' αὐτοῦ, ἄνευ ἑρμηνέως.* — *ἐκείνων* ist mascul.

3. *οὐδὲν* st. *οὔ* wie *nihil* st. *non.* — *διακοῦσαι*, vgl. 2, 3. — Demaratus um 510 König von Sparta, durch die Intriguen seiner Feinde (Herod. 6, 64 ff.) gestürzt, flüchtete nach Persien und begleitete den Xerxes hochgeehrt auf seinem griechischen Zuge. — *τὴν κίταριν ἐπαράμενος* = *ὀρθῇ τῇ κιτάρει* oder *τιάρᾳ* (beides ist gleichbedeutend): die Spitze der allen Persern gemeinsamen turbanartigen Kopfbedeckung trug nur der König aufrecht stehend. — *εἰσελάσαι διὰ* —, in die Stadt hinein und durch dieselbe.

4. *ἔχειν* z. 2, 6. — *δεηθείς* darum gebeten, so nicht selten absolut. — *ἔπεισε* redete zu, begütigte. — *τοὺς βασιλεῖς* — *ἕκαστον*, adjünktive Apposition, einen kollektiven Singular mit dem Plural verbin-

μὴ ἀπωλόμεθα.“ πόλεις δ᾽ αὐτῇ τρεῖς μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα· δύο δ᾽ ἄλλας προστίθησιν ὁ Κυζικηνὸς Νεάνθης καὶ Φανίας, Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἀμπεχόνην.

**30.** καταβαίνοντι δ᾽ αὐτῷ πρὸς τὰς Ἑλληνικὰς πράξεις ἐπὶ θάλατταν Πέρσης ἀνὴρ Ἐπιξύης ὄνομα σατραπεύων τῆς ἄνω Φρυγίας ἐπεβούλευσε, παρεσκευακὼς ἔκπαλαι Πισίδας τινὰς ἀποκτενοῦντας, ὅταν ἐν τῇ καλουμένῃ πόλει Λεοντοκεφάλῳ γενόμενος καταυλισθῇ. τῷ δὲ λέγεται καθεύδοντι μεσημβρίας τὴν Μητέρα τῶν θεῶν ὄναρ φανεῖσαν εἰπεῖν· „Ὦ Θεμιστόκλεις, ὑστέρει κεφαλῆς λεόντων, ἵνα μὴ λέοντι περιπέσῃς. ἐγὼ δὲ ἀντὶ τούτου σε αἰτῶ θεράπαιναν Μνησιπτολέμαν.“ διαταραχθεὶς οὖν ὁ Θεμιστοκλῆς προσευξάμενος τῇ θεῷ τὴν μὲν λεωφόρον ἀφῆκεν, ἑτέρᾳ δὲ περιελθὼν καὶ παραλλάξας τὸν τόπον ἐκεῖνον ἤδη νυκτὸς οὔσης κατηυλίσατο. τῶν δὲ τὴν σκηνὴν κομιζόντων ὑποζυγίων ἑνὸς εἰς ποταμὸν ἐμπεσόντος, οἱ τοῦ Θεμιστοκλέους οἰκέται τὰς αὐλαίας διαβρόχους γενομένας ἐκπετάσαντες ἀνέψυχον· οἱ δὲ Πισίδαι τὰ ξίφη λαβόντες ἐν τούτῳ προσεφέροντο καὶ τὰ ψυχόμενα πρὸς τὴν σελήνην οὐκ ἀκριβῶς ἰδόντες ᾠήθησαν εἶναι τὴν σκηνὴν τὴν Θεμι-

dend. — *εἰ μὴ ἀπωλόμεθα = εἰ ἐσωζόμεθα:* schönes den Themist. ehrendes Oxymoron. — *εἰς ἄρτον*, nach persischer Sitte wurden ihm zur Bestreitung einzelner Bedürfnisse die Einkünfte gewisser Städte angewiesen. Magnesia brachte dem Them. nach Thucyd. 1, 138 jährlich 50 Talente ein; sämmtliche Städte lagen in der fruchtbarsten Gegend Kleinasiens.

**30.** 1. *τὰς Ἑλληνικάς* zu den dem König versprochenen Unternehmungen gegen Griechenland. — *παρεσκευακώς* (*subornare*) Cat. maj. 15: *διώκουσιν ἑτέροις συνηγωνίσατο καὶ παρεσκεύασεν ὅλως διώκοντας.* — *Πισίδαι*, immer zu räuberischen Ueberfällen bereites Gebirgsvolk Pamphyliens. — *Λεοντοκέφαλος* als *ὀχυρώτατον χωρίον Φρυγίας* vom Appian genannt. — *μητέρα τῶν θεῶν*, die unten *Δινδυμήνη* vom phrygischen Gebirge *Δίνδυμα*, auch *Κυβέλη* u. *Ῥέα* genannte grosse Mutter der Götter. — *ὑστερεῖν* behält die seinem komparativen Ursprung gemässe Konstruktion auch bei veränderter Bedeutung.

**31.** 1. *τὴν κατασκευήν* den prächtigen Bau. — *τὴν καλουμένην* die so genannte, von einem unter diesem Namen notorischen Kunstwerk. — *ὑδάτων ἐπιστάτης*, ob dies eine selbständige Ma

στοκλέους κἀκεῖνον ἔνδον εὑρήσειν ἀναπαυόμενον. ὡς δ' ἐγγὺς γενόμενοι τὴν αὐλαίαν ἀνέστελλον, ἐπιπίπτουσιν αὐτοῖς οἱ παραφυλάσσοντες καὶ συλλαμβάνουσι. διαφυγὼν δὲ τὸν κίνδυνον οὕτω καὶ θαυμάσας τὴν ἐπιφάνειαν τῆς θεοῦ ναὸν κατεσκεύασεν ἐν Μαγνησίᾳ Λινδυμήνης καὶ τὴν θυγατέρα Μνησιπτολέμαν ἱέρειαν ἀπέδειξεν.

**31.** ὡς δ' ἦλθεν εἰς Σάρδεις καὶ σχολὴν ἄγων ἐθεᾶτο τῶν ἱερῶν τὴν κατασκευὴν καὶ τῶν ἀναθημάτων τὸ πλῆθος, εἶδε καὶ ἐν Μητρὸς ἱερῷ τὴν καλουμένην ὑδροφόρον κόρην χαλκῆν, μέγεθος δίπηχυν, ἣν αὐτὸς ὅτε τῶν Ἀθήνησιν ὑδάτων ἐπιστάτης ἦν ἑλὼν τοὺς ὑφαιρουμένους τὸ ὕδωρ καὶ παροχετεύοντας ἀνέθηκεν ἐκ τῆς ζημίας ποιησάμενος· εἴτε δὴ παθών τι πρὸς τὴν αἰχμαλωσίαν τοῦ ἀναθήματος εἴτε βουλόμενος ἐνδείξασθαι τοῖς Ἀθηναίοις, ὅσην ἔχει τιμὴν καὶ δύναμιν ἐν τοῖς βασιλέως πράγμασι, λόγον τῷ Λυδίας σατράπῃ προσήνεγκεν αἰτούμενος ἀποστεῖλαι τὴν κόρην εἰς τὰς Ἀθήνας. καλεπαίνοντος δὲ τοῦ βαρβάρου καὶ βασιλεῖ 2
γράψειν φήσαντος ἐπιστολήν, φοβηθεὶς ὁ Θεμιστοκλῆς εἰς τὴν γυναικωνῖτιν κατέφυγε καὶ τὰς παλλακίδας αὐτοῦ θεραπεύσας χρήμασιν ἐκεῖνόν τε κατεπράϋνε τῆς ὀργῆς καὶ πρὸς τὰ ἄλλα παρεῖχεν ἑαυτὸν εὐλαβέστερον ἤδη καὶ τὸν φθόνον τῶν βαρβάρων δεδοικώς. οὐ γὰρ πλανώμενος περὶ

3. οὐχ ἡδύς d. h. sie waren unzufrieden mit ihm. — ἐφήμερον nur auf den einzelnen Tag berechnet. — οἷον —, wie sonst wohl bei einem grossen Hauswesen und einer Wirthschaft, wo alles im Ueberfluss vorhanden ist, der Fall zu sein pflegt; Horaz ep. 1, 6, 45: *exilis domus est ubi non et multa supersunt.* — ἀπᾴδοντα (Valckenärs Verbesserung st. ἅπαντα), während man auch in diesem Punkte Uebereinstimmung des Schülers mit dem Lehrer hätte erwarten sollen. Diogenes Laert. 2, 6, 7: Ἀναξαγόρας εὐγενείᾳ καὶ πλούτῳ διαφέρων ἦν, ἀλλὰ καὶ μεγαλοφροσύνῃ, ὅς γε τὰ πατρῷα παρεχώρησε τοῖς οἰκείοις. αἰτιαθεὶς γάρ ὑπ' αὐτῶν ὡς ἀμελῶν, τί οὖν, ἔφη, οὐχ ὑμεῖς ἐπιμελεῖσθε; — κινεῖ τὴν διάνοιαν setzt seinen Geist in Bewegung; ἐπὶ Bezeichnung des Beweggrundes, wozu. — τὰ καλά, Gesammtbezeichnung des Wahren, Guten und Schönen, mit dessen Erforschung u. Erkenntniss der Theoretiker sich beschäftigt. — ἀνθρωπείας χρείας, Bezeichnung des Gebiets des prakt. Staatsmanns, der von seinen Gaben Gebrauch für das Leben macht, bei dem das

τεροῦντα· προσπεσόντος δὲ τῷ Περικλεῖ τοῦ πράγματος ἐκπλαγέντα θεῖν εὐθὺς ἐπὶ τὸν ἄνδρα καὶ δεῖσθαι πᾶσαν θέσιν ὀλοφυρόμενον οὐκ ἐκεῖνον, ἀλλ' ἑαυτὸν, εἰ τοιοῦτον πολεῖ τῆς πολιτείας σύμβουλον. ἐκκαλυψάμενον οὖν τὸν Ἀναξαγόραν εἰπεῖν πρὸς αὐτόν· „ὦ Περίκλεις, καὶ οἱ τοῦ ύχνου χρείαν ἔχοντες ἔλαιον ἐπιχέουσιν."

17. ἀρχομένων δὲ Λακεδαιμονίων ἄχθεσθαι τῇ αὐήσει τῶν Ἀθηναίων ἐπαίρων ὁ Περικλῆς τὸν δῆμον ἔτι ἄλλον μέγα φρονεῖν καὶ μεγάλων αὑτὸν ἀξιοῦν πραγμάων γράφει ψήφισμα, πάντας Ἕλληνας τοὺς ὁπῆποτε καοικοῦντας Εὐρώπης ἢ τῆς Ἀσίας παρακαλεῖν καὶ μικρὰν όλιν καὶ μεγάλην εἰς σύλλογον πέμπειν Ἀθήναζε τοὺς ωλευσομένους περὶ τῶν Ἑλληνικῶν ἱερῶν, ἃ κατέπρησαν ρβαροι, καὶ τῶν θυσιῶν, ἃς ὀφείλουσιν ὑπὲρ τῆς Ἑλλάς εὐξάμενοι τοῖς θεοῖς ὅτε πρὸς τοὺς βαρβάρους ἐμάντο, καὶ τῆς θαλάττης, ὅπως πλέωσι πάντες ἀδεῶς καὶ ν εἰρήνην ἄγωσιν. ἐπὶ ταῦτα δ' ἄνδρες εἴκοσι τῶν ὑπὲρ 2
ντήκοντα ἔτη γεγονότων ἐπέμφθησαν, ὧν πέντε μὲν Ἰως καὶ Δωριεῖς τοὺς ἐν Ἀσίᾳ καὶ νησιώτας ἄχρι Λέσβου ὶ Ῥόδου παρεκάλουν, πέντε δὲ τοὺς ἐν Ἑλλησπόντῳ καὶ ράκῃ μέχρι Βυζαντίου τόπους ἐπῆεσαν, καὶ πέντε ἐπὶ τοις εἰς Βοιωτίαν καὶ Φωκίδα καὶ Πελοπόννησον, ἐκ ταύτης διὰ Λοκρῶν ἐπὶ τὴν πρόσοικον ἤπειρον ἔως

ssen zum Handeln wird. — *καλῶν*, indem er Handlungen freien Sittlichkeit ermöglicht, er, aus andern Gründen nothlig, auch Schmuck und Zierde staatsmännischen Lebens.

*καὶ μέντοι*, ja erzählt man von Anax. selbst —, bestätie Versicherung der vorstehenbehauptung von der Unentbehrheit des Geldes durch das eigne iel dessen, der es verschmähet . — *συγκεκαλυμμένον*, das t verhüllten Sterbende und eireiwilligen Tod Wählende, so terbende Sokrates und unter den Dolchstichen der Mörder Cäsar (*toga caput obvolvit*, Suet. Caes. 82). — *ἀποκαρτερεῖν* stehend von denen, die sich durch Enthaltung von Speise und Trank einen freiwilligen Tod geben.

17. 1. *ἄχθεσθαι*, aus Eifersucht. — *γράφει ψήφισμα*, einem einfachen Verbum singleich, daher mit dem blossen Infinit. — *μικρὰν πόλιν*, exegetische Apposition zu *τοὺς κατοικοῦντας*. Von diesem beabsichtigten Nationalcongress erzählt sonst kein Schriftsteller.

2. *ὑπὲρ πεντήκοντα*, also Männer im reifsten Mannesalter, voll

Ἀκαρνανίας καὶ Ἀμβρακίας ἀπεστάλησαν· οἱ δὲ λοιποὶ δι' Εὐβοίας ἐπ' Οἰταίους καὶ τὸν Μαλιέα κόλπον καὶ Φθιώτας Ἀχαιοὺς καὶ Θεσσαλοὺς ἐπορεύοντο συμπείθοντες ἰέναι καὶ μετέχειν τῶν βουλευμάτων ἐπ' εἰρήνῃ καὶ κοινοπραγίᾳ τῆς Ἑλλάδος. ἐπράχθη δὲ οὐδὲν οὐδὲ συνῆλθον αἱ πόλεις Λακεδαιμονίων ὑπεναντιωθέντων, ὡς λέγεται, καὶ τὸ πρῶτον ἐν Πελοποννήσῳ τῆς πείρας ἐλεγχθείσης. τοῦτο μὲν οὖν παρεθέμην ἐνδεικνύμενος· αὐτοῦ τὸ φρόνημα καὶ τὴν μεγαλοφροσύνην.

18. ἐν δὲ ταῖς στρατηγίαις εὐδοκίμει μάλιστα διὰ τὴν ἀσφάλειαν, οὔτε μάχης ἐχούσης πολλὴν ἀθηλότητα καὶ κίνδυνον ἑκουσίως ἁπτόμενος οὔτε τοὺς ἐκ τοῦ παραβάλλεσθαι χρησαμένους τύχῃ λαμπρᾷ καὶ θαυμασθέντας ὡς μεγάλους ζηλῶν καὶ μιμούμενος στρατηγοὺς ἀεί τε λέγων πρὸς τοὺς πολίτας, ὡς ὅσον ἐπ' αὐτῷ μενοῦσιν ἀθάνατοι πάντα τὸν χρόνον. ὁρῶν δὲ Τολμίδην τὸν Τολμαίου διὰ τὰς πρότερον εὐτυχίας καὶ διὰ τὸ τιμᾶσθαι διαφερόντως ἐκ τῶν πολεμικῶν σὺν οὐδενὶ καιρῷ παρασκευαζόμενον εἰς Βοιωτίαν ἐμβαλεῖν καὶ πεπεικότα τῶν ἐν ἡλικίᾳ τοὺς ἀρίστους καὶ φιλοτιμοτάτους ἐθελοντὶ στρατεύεσθαι χιλίους γενομένους ἄνευ τῆς ἄλλης δυνάμεως, κατέχειν ἐπειρᾶτο καὶ παρακαλεῖν ἐν τῷ δήμῳ τὸ μνημονευόμενον εἰπών, ὡς, εἰ μὴ πείθοιτο Περικλεῖ, τόν γε σοφώτατον οὐχ ἁμαρτήσεται σύμβουλον ἀναμείνας χρόνον. τότε μὲν οὖν μετρίως εὐδοκίμησε τοῦτ' εἰπών· ὀλίγαις δ' ὕστερον ἡμέραις, ὡς

Einsicht und Erfahrung. — *Οἰταίους* Bewohner der am Oeta in Thessalien liegenden Landschaft. — *Μαλιέα κόλπον*, an der Küste Thessaliens, der Nordspitze von Euböa gegenüber. — *Φθιώτας Ἀχαιοὺς* Bewohner der Landschaft Phthiotis in Thessalien.

18. *παραβάλλεσθαι* aufs Spiel setzen. — *Τολμίδην*, eine Uebersicht seiner Thaten bei Pausan. 1, 27, 5. — *ἐμβαλεῖν*, Ol. 83, 2 = 446. Thuc. 1, 113: *Ἀθηναῖοι Βοιωτῶν τῶν φευγόντων ἐχόντων Ὀρχομενὸν καὶ Χαιρώνειαν καὶ ἄλλ' ἄττα χωρία τῆς Βοιωτίας ἐστράτευσαν ἑαυτῶν μὲν χιλίοις ὁπλίταις, τῶν δὲ ξυμμάχων ὡς ἑκάστοις ἐπὶ τὰ χωρία ταῦτα πολέμια ὄντα Τολμίδου στρατηγοῦντος.* — *τῆς ἄλλης δυνάμεως* das von Thuc. erwähnte Contingent der Bundesgenossen. — *μετρίως* nicht allzusehr. — *περὶ Κορώνειαν*, Schlacht bei Lebadea nennt sie Xenophon, *περὶ Χαιρώνειαν* Diodor, *ἐν Ἀλιαρτίᾳ* Pausanias, *ἐν Κορωνείᾳ* auch Thucyd.: die Grenzen

ἀνηγγέλθη τεθνεὼς μὲν αὐτὸς Τολμίδης περὶ Κορώνειαν ἡττηθεὶς μάχῃ, τεθνεῶτες δὲ πολλοὶ καὶ ἀγαθοὶ τῶν πολιτῶν, μεγάλην τοῦτο τῷ Περικλεῖ μετ' εὐνοίας δόξαν ἤνεγκεν, ὡς ἀνδρὶ φρονίμῳ καὶ φιλοπολίτῃ.

19. τῶν δὲ στρατηγιῶν ἠγαπήθη μὲν ἡ περὶ Χερρόνησον αὐτοῦ μάλιστα σωτήριος γενομένη τοῖς αὐτόθι κατοικοῦσι τῶν Ἑλλήνων· οὐ γὰρ μόνον ἐποίκους Ἀθηναίων λίους κομίσας ἔρρωσεν εὐανδρίᾳ τὰς πόλεις, ἀλλὰ καὶ ν αὐχένα διαζώσας ἐρύμασι καὶ προβλήμασιν ἐκ θαλάτς εἰς θάλατταν ἀπετείχισε τὰς καταδρομὰς τῶν Θρᾳκιῶν ρικεχυμένων τῇ Χερρονήσῳ καὶ πόλεμον ἐνδελεχῆ καὶ ρὺν ἐξέκλεισεν, ᾧ συνείχετο πάντα τὸν χρόνον ἡ χώρα ρβαρικαῖς ἀναμεμιγμένη γειτνιάσεσι καὶ γέμουσα λῃστηον ὁμόρων καὶ συνοίκων· ἐθαυμάσθη δὲ καὶ διεβοήθη ὸς τοὺς ἐκτὸς ἀνθρώπους περιπλεύσας Πελοπόννησον ἐκ γῶν τῆς Μεγαρικῆς ἀναχθεὶς ἑκατὸν τριήρεσιν. οὐ γὰρ 2 ον ἐπόρθησε τῆς παραλίας πολλὴν, ὡς Τολμίδης πρὸον, ἀλλὰ καὶ πόρρω θαλάττης προελθὼν τοῖς ἀπὸ τῶν ν ὁπλίταις τοὺς μὲν ἄλλους εἰς τὰ τείχη συνέστειλε δείτας αὐτοῦ τὴν ἔφοδον, ἐν δὲ Νεμέᾳ Σικυωνίους ὑποντας καὶ συνάψαντας μάχην κατὰ κράτος τρεψάμενος ησε τρόπαιον. ἐκ δ' Ἀχαΐας φίλης οὔσης στρατιώτας λαβὼν εἰς τὰς τριήρεις ἐπὶ τὴν ἀντιπέρας ἤπειρον ἐκοθη τῷ στόλῳ καὶ παραπλεύσας τὸν Ἀχελῷον Ἀκαρνακατέδραμε καὶ κατέκλεισεν Οἰνιάδας εἰς τὸ τεῖχος καὶ

enannten Orte berührten sich. ον ἐπ' αὐτῷ soviel von ihm ge.

1. περὶ Χερρόνησον Ol. 81, 453 vgl. z. 11, 3. — τὸν αὐden an der schmalsten Stelle ιδιον breiten Isthmus, durch en die thracische Chersones m Festlande zusammenhängt. Miltiades hatte ihn aus dem- Grunde befestigt: wie diese igungen keine Dauer gehabt ben scheinen, müssen auch ikleischen bald wieder zerstört worden sein, s. Xen. Hellen. 3, 2, 10. — λῃστηρίων Räuberbanden. — Pegä (Pagä) Hafenstadt in Megaris. — ἑκατὸν τριήρεσι, mit 1000 Hopliten sagt Thuc. 1, 111 ohne die Zahl der Schiffe anzugeben, die, wenn sie 100 betrug, für die Truppenzahl unverhältnissmässig gross ist; 50 Schiffe giebt Diodor 11, 88 an.

2. ἤπειρον Akarnanien. — Οἰνιάδαι, Name der KüstenstadtAkarnaniens an der Mündung des Achelous und ihrer Bewohner; sie war

τεμὼν τὴν γῆν καὶ κακώσας ἀπῆρεν ἐπ᾽ οἶκου, φοβερὸς μὲν φανεὶς τοῖς πολεμίοις, ἀσφαλὴς δὲ καὶ δραστήριος τοῖς πολίταις. οὐδὲν γὰρ οὐδ᾽ ἀπὸ τύχης πρόσκρουσμα συνέβη περὶ τοὺς στρατευομένους.

**20.** εἰς δὲ τὸν Πόντον εἰσπλεύσας στόλῳ μεγάλῳ καὶ κεκοσμημένῳ λαμπρῶς ταῖς μὲν Ἑλληνίσι πόλεσιν ὧν ἐδέοντο διεπράξατο καὶ προσηνέχθη φιλανθρώπως, τοῖς δὲ περιοικοῦσι βαρβάροις ἔθνεσι καὶ βασιλεῦσιν αὐτῶν καὶ δυνάσταις ἐπεδείξατο μὲν τῆς δυνάμεως τὸ μέγεθος καὶ τὴν ἄδειαν καὶ τὸ θάρσος ᾗ βούλοιντο πλεόντων καὶ πᾶσαν ὑφ᾽ αὑτοῖς πεποιημένων τὴν θάλασσαν, Σινωπεῦσι δὲ τρισκαίδεκα ναῦς ἀπέλιπε μετὰ Λαμάχου καὶ στρατιώτας ἐπὶ Τιμησίλεων τύραννον. ἐκπεσόντος δὲ τούτου καὶ τῶν ἑταίρων ἐψηφίσατο πλεῖν εἰς Σινώπην Ἀθηναίων ἐθελοντὰς ἑξακοσίους καὶ συγκατοικεῖν Σινωπεῦσι νειμαμένους
2 οἰκίας καὶ χώραν, ἣν πρότερον οἱ τύραννοι κατεῖχον. τἆλλα δ᾽ οὐ συνεχώρει ταῖς ὁρμαῖς τῶν πολιτῶν οὐδὲ συνεξέπιπτεν ὑπὸ ῥώμης καὶ τύχης τοσαύτης ἐπαιρομένων Αἰγύπτου τε πάλιν ἀντιλαμβάνεσθαι καὶ κινεῖν τῆς βασιλέως ἀρχῆς τὰ πρὸς θαλάττῃ. πολλοὺς δὲ καὶ Σικελίας ὁ δύσερως ἐκεῖνος ἤδη καὶ δύσποτμος ἔρως εἶχεν, ὃν ὕστερον ἐξε-

immer feindlich gegen Athen gesinnt, Thuc. 2, 102; ihre Eroberung glückte dem Per. nicht, Thuc. 1, 108.

**20.** 1. Ueber Per. Zug nach dem Pontus fehlt es an weitern Nachrichten. — *ὧν ἐδέοντο* —, scheint sich auf Abstellung von Beschwerden und Streitigkeiten zu beziehen, welche die gr. Städte gegen die umwohnenden Dynasten haben mochten. — *ἐπεδείξατο*, hier, wie oft, mit dem Nebenbegriff imponirender Ostentation. — Sinope, die wichtigste aller gr. Kolonien am Pontus Euxinus stand unter eignen Königen. — *μετὰ* unter dem Befehl. — *νειμαμένους* nachdem sie unter sich vertheilt hätten.

2. *συνεξέπιπτεν* liess sich mit fort reissen. — *πάλιν*, schon in J. 460 hatte Athen dem Inarus, König von Aegypten, der sich gegen den Perserkönig empört, Beistand geleistet, aber ohne nachhaltigen Erfolg und mit bedeutendem Verlust. — *δυσέρως*, Suidas: *ὁ ἐπὶ κακῷ ἐρῶν.* — *ἤδη* schon damals, vgl. Alcib. 17: *Σικελίας δὲ καὶ Περικλέους ἔτι ζῶντος ἐπεθύμουν Ἀθηναῖοι καὶ τελευτήσαντος ἥπτοντο. ὁ δὲ παντάπασι τὸν ἔρωτα τοῦτον ἀναφλέξας αὐτῶν — Ἀλκιβιάδης ἦν.* — *ὄνειρος*, Alcib. a. a. O.: *Ἀλκιβιάδης δὲ Καρχηδόνα καὶ Λιβύην ὀνειροπολῶν, ἐκ δὲ τούτου προσγενομένων Ἰταλίαν καὶ Πελοπόννησον ἤδη προσβαλλόμενος, ὀλίγου δεῖν ἐφόδια τοῦ πολέμου Σικελίαν ἐποιεῖτο.* — *οὐκ*

ανσαν οἱ περὶ τὸν Ἀλκιβιάδην ῥήτορες. ἦν δὲ καὶ Τυρρηνία καὶ Καρχηδὼν ἐνίοις ὄνειρος, οὐκ ἀπ' ἐλπίδος διὰ τὸ ἔγεθος τῆς ὑποκειμένης ἡγεμονίας καὶ τὴν εὕροιαν τῶν ραγμάτων·

**21.** ἀλλ' ὁ Περικλῆς κατεῖχε τὴν ἐκδρομὴν ταύτην καὶ εριέκοπτε τὴν πολυπραγμοσύνην καὶ τὰ πλεῖστα τῆς δυμεως ἔτρεπεν εἰς φυλακὴν καὶ βεβαιότητα τῶν ὑπαρχόν-ν, μέγα ἔργον ἡγούμενος ἀνείργειν Λακεδαιμονίους καὶ ως ὑπεναντιούμενος ἐκείνοις, ὡς ἄλλοις τε πολλοῖς ἔδειξε ὶ μάλιστα τοῖς περὶ τὸν ἱερὸν πραχθεῖσι πόλεμον. ἐπεὶ ρ οἱ Λακεδαιμόνιοι στρατεύσαντες εἰς Δελφοὺς Φωκέων ὄντων τὸ ἱερὸν Δελφοῖς ἀπέδωκαν, εὐθὺς ἐκείνων ἀπαλγέντων ὁ Περικλῆς ἐπιστρατεύσας πάλιν εἰσήγαγε τοὺς ωκέας. καὶ τῶν Λακεδαιμονίων ἣν ἔδωκαν αὐτοῖς Δελὶ προμαντείαν εἰς τὸ μέτωπον ἐγκολαψάντων τοῦ χαλλύκου, λαβὼν καὶ αὐτὸς προμαντείαν τοῖς Ἀθηναίοις τὸν αὐτὸν λύκον κατὰ τὴν δεξιὰν πλευρὰν ἐνεχάραξεν.

**22.** ὅτι δ' ὀρθῶς ἐν τῇ Ἑλλάδι τὴν δύναμιν τῶν Ἀθηνῶν συνεῖχεν, ἐμαρτύρησεν αὐτῷ τὰ γενόμενα. πρῶτον γὰρ Εὐβοεῖς ἀπέστησαν, ἐφ' οὓς διέβη μετὰ δυνάμεως.

nicht fern von, ausser dem ch.

ἐκδρομή Neigung zu ausgen Eroberungen, die durch τραγμοσύνη als vorwitzige u. örige Unternehmungssucht beet wird. — μέγα ἔργον n für eine schwierige Auf- — ἱερὸν πόλεμον, als Ol. = 448 die Phocier den Delden Apollotempel entrissen unternahmen die Spartaner Rechte der Delphier einen ug, der, weil es das Heilig- es Gottes galt, der heilige t ward. — προμαντεία, d sonst die Befragenden nach ose zugelassen wurden, erdie Delphier solchen, die sonders freigebig gezeigt oder irgend wie um den Tempel verdient gemacht hatten, das Recht der Befragung vor Andern. — χαλκοῦ λύκου, Pausan. 10, 14, 4: λέγουσι τῶν τοῦ θεοῦ χρημάτων συλήσαντα ἄνθρωπον, τὸν μὲν ὁμοῦ τῷ χρυσίῳ καταχρύψαντα ἔχειν αὐτὸν ἔνθα τοῦ Παρνασσοῦ μάλιστα ἦν συνεχὲς ὑπὸ ἀγρίων δένδρων· λύκον δὲ ἐπιθέσθαι οἱ καθεύδοντι καὶ ἀποθανεῖν τε ὑπὸ τοῦ λύκου τὸν ἄνθρωπον· καὶ ὡς ἐς τὴν πόλιν ὁσημέραι ποιτῶν ὠρύετο ὁ λύκος, ἐπειδὴ οὐκ ἄνευ θεοῦ παραγίνεσθαί σφισιν ὑπελάμβανον, οὕτως ἐπακολουθοῦσι τῷ θηρίῳ καὶ ἀνευρίσκουσί τε τὸ ἱερὸν χρυσίον καὶ ἀνέθεσαν λύκον τῷ θεῷ χαλκοῦν.

**22.** 1. Εὐβοεῖς ἀπέστησαν Ol.

εἶτ' εὐθὺς ἀπηγγέλλοντο Μεγαρεῖς ἐκπεπολεμωμένοι καὶ στρατιὰ πολεμίων ἐπὶ τοῖς ὅροις τῆς Ἀττικῆς οὖσα, Πλειστώνακτος ἡγουμένου, βασιλέως Λακεδαιμονίων. πάλιν οὖν ὁ Περικλῆς κατὰ τάχος ἐκ τῆς Εὐβοίας ἀνεκομίζετο πρὸς τὸν ἐν τῇ Ἀττικῇ πόλεμον· καὶ συνάψαι μὲν εἰς χεῖρας οὐκ ἐθάρσησε πολλοῖς καὶ ἀγαθοῖς ὁπλίταις προκαλουμένοις· ὁρῶν δὲ τὸν Πλειστώνακτα νέον ὄντα κομιδῇ, χρώμενον δὲ μάλιστα Κλεανδρίδῃ τῶν συμβούλων, ὃν οἱ ἔφοροι φύλακα καὶ πάρεδρον αὐτῷ διὰ τὴν ἡλικίαν συνέπεμψαν, ἐπειρᾶτο τούτου κρύφα· καὶ ταχὺ διαφθείρας χρήμασιν αὐτὸν ἔπεισεν ἐκ τῆς Ἀττικῆς ἀπαγαγεῖν τοὺς
2 Πελοποννησίους. ὡς δ' ἀπεχώρησεν ἡ στρατιὰ καὶ διελύθη κατὰ πόλεις, βαρέως φέροντες οἱ Λακεδαιμόνιοι τὸν μὲν βασιλέα χρήμασιν ἐζημίωσαν, ὧν τὸ πλῆθος οὐκ ἔχων ἐκτῖσαι μετέστησεν ἑαυτὸν ἐκ Λακεδαίμονος, τοῦ δὲ Κλεανδρίδου φεύγοντος θάνατον κατέγνωσαν. οὗτος δ' ἦν πατὴρ Γυλίππου τοῦ περὶ Σικελίαν Ἀθηναίους καταπολεμήσαντος. ἔοικε δ' ὥσπερ συγγενικὸν αὐτῷ προστρίψασθαι νόσημα τὴν φιλαργυρίαν ἡ φύσις, ὑφ' ἧς καὶ αὐτὸς αἰσχρῶς

83, 4 = 446, dies, wie der Abfall von Megara, waren Folgen der Niederlage bei Koronea. — *Μεγαρεῖς ἐκπεπολεμωμένοι*, in Verbindung mit Korinth, Sicyon und Epidaurus. — Pleistonax, Sohn des Pausanias, König seit Ol. 80, 3 = 458 unter der Vormundschaft des Nikomedes: er muss sehr jung zum Thron gelangt sein, da er noch 13 Jahre später *νέος κομιδῇ* genannt wird. — *τῶν συμβούλων* von seinen Rathgebern: ob damit ein von Staatswegen beigeordnetes Kollegium (wie später 418 dem Agis zehn *σύμβ.* zugeordnet wurden) oder nur seine einflussreiche Umgebung bezeichnet werde, ist zweifelhaft, da nur von Kleandrides eine solche Bevormundung ausdrücklich erwähnt wird. — *χρήμασιν*, die c. 23 angegebnen 10 Talente.

2. *πλῆθος*, 15 Talente nach Ephorus bei schol. Aristoph. nub. 859. Nach 19jähriger Verbannung ward er Ol. 88, 3 = 426 zurückberufen. — *περὶ Σικελίαν*, im J. 414. — *αὐτῷ, τῷ Γυλίππῳ*: von Lysander nach Beendigung des pelop. Krieges mit grossen Schätzen nach Sparta geschickt entwandte er davon und entzog sich der Todesstrafe durch die Flucht. — *συγγενικὸν νόσημα*, in gleichem Sinne nennt Plut. des Gylippus Habsucht Nic. 28 *ἀρρώστημα πατρῷον*. — *αἰσχρῶς* gehört zu *ἐξέπεσε*. — *Λυσάνδρου* c. 17.

**23.** 1. Rechenschaftspflichtig waren in Athen alle Beamte: die Ablegung erfolgte bei den jährlich wechselnden Behörden unmittelbar nach Ablauf ihrer Amtszeit. — *εἰς τὸ δέον* zu nothwendigen Zwecken. schol. Arist. nub. 858: *φασὶ — τὸν Περικλέα, ἵνα μὴ γυμνῶς εἴπῃ ὅτι*

ὶ κακοῖς ἔργοις ἁλοὺς ἐξέπεσε τῆς Σπάρτης. ταῦτα μὲν
ν ἐν τοῖς περὶ Λυσάνδρου δεδηλώκαμεν.

23. τοῦ δὲ Περικλέους ἐν τῷ τῆς στρατηγίας ἀπολο-
μῷ δέκα ταλάντων ἀνάλωμα γράψαντος ἀνηλωμένων εἰς
δέον, ὁ δῆμος ἀπεδέξατο μὴ πολυπραγμονήσας μηδ'
γξας τὸ ἀπόρρητον. ἔνιοι δ' ἱστορήκασιν, ὧν ἐστι καὶ
φραστος ὁ φιλόσοφος, ὅτι καθ' ἕκαστον ἐνιαυτὸν εἰς
Σπάρτην ἐφοίτα δέκα τάλαντα παρὰ τοῦ Περικλέους,
τοὺς ἐν τέλει πάντας θεραπεύων παρητεῖτο τὸν πόλε-
οὐ τὴν εἰρήνην ὠνούμενος, ἀλλὰ τὸν χρόνον, ἐν ᾧ πα-
ευασάμενος καθ' ἡσυχίαν ἔμελλε πολεμήσειν βέλτιον.
ς οὖν ἐπὶ τοὺς ἀφεστῶτας τραπόμενος καὶ διαβὰς εἰς 2
ιαν πεντήκοντα ναυσὶ καὶ πεντακισχιλίοις ὁπλίταις
τρέψατο τὰς πόλεις. καὶ Χαλκιδέων μὲν τοὺς ἱππο-
ς λεγομένους πλούτῳ καὶ δόξῃ διαφέροντας ἐξέβαλεν,
εῖς δὲ πάντας ἀναστήσας ἐκ τῆς χώρας Ἀθηναίους κατ-
, μόνοις τούτοις ἀπαραιτήτως χρησάμενος ὅτι ναῦν
ὴν αἰχμάλωτον λαβόντες ἀπέκτειναν τοὺς ἄνδρας.

4. ἐκ τούτου γενομένων σπονδῶν Ἀθηναίοις καὶ

ς τοῖς Λακεδαιμονίων βα-
ταῦτα οὕτως αἰνίξασθαι:
is dahin unerhörte Art der
chaftsablage ward, von den
n verspottet, sprichwört-
idas: ὅταν τις θέλῃ μὴ
; εἰπεῖν ὅπου τι πολλάκις
, λέγει εἰς δέον. — ἐφοίτα,
hen auch Thuc. 8, 18 u.
bei Xenophon ἦλθε u. ἧκε.
ἐν τέλει = τὰ τέλη, die
Behörde, hier die Ephoren.
ε sich berechnen, erwar-

ύς Ol. 83, 4 = 445. —
ς, Herod. 5, 77: οἱ δὲ ἐπ-
ἐκαλέοντο οἱ παχέες τῶν
ν, also die reichen Grund-
lie Ritterschaft. — Ἐστι-
nner der Stadt Ἐστίαια
Euböa; die gewöhnliche
Ἐστιαιεῖς, das Vorkom-
ndern bezeugt Stephan.
Byz. Ueber das Schicksal der Hestiäer Strabo 10, 1, 445: Θεόπομπος δέ φησι Περικλέους χειρουμένου Εὔβοιαν τοὺς Ἱστιαιεῖς καθ' ὁμολογίας εἰς Μακεδονίαν μεταστῆναι, δισχιλίους δ' ἐξ Ἀθηναίων ἐλθόντας τὸν Ὧρεὸν οἰκῆσαι, δῆμον ὄντα πρότερον τῶν Ἱστιαιέων.

24. 1. ἐκ τούτου, gleich nach der Unterwerfung von Euböa: die Bedingungen des Vertrags, den noch Pausanias (5, 23, 3) zu Olympia auf einer ehernen Säule eingegraben sah, sind nicht vollständig bekannt; die hauptsächlichsten waren, dass keinem Staate die Symmachie, zu der er gehöre, zu verlassen gestattet sei: offenbar gegen die Vergrösserung der athen. Macht gerichtet: und dass Athen auf den Besitz von Trözen, der megarischen Hafenplätze Nisäa u. Pegae u. die Bundesgenossenschaft von Achaja

*Λακεδαιμονίοις εἰς ἔτη τριάκοντα ψηφίζεται τὸν εἰς Σάμον πλοῦν αἰτίαν ποιησάμενος κατ᾽ αὐτῶν, ὅτι τὸν πρὸς Μιλησίους κελευόμενοι διαλύσασθαι πόλεμον οὐχ ὑπήκουον. ἐπεὶ δ᾽ Ἀσπασίᾳ χαριζόμενος δοκεῖ πρᾶξαι τὰ πρὸς Σαμίους, ἐνταῦθα ἂν εἴη καιρὸς διαπορῆσαι μάλιστα περὶ τῆς ἀνθρώπου, τίνα τέχνην ἢ δύναμιν τοσαύτην ἔχουσα τῶν τε πολιτικῶν τοὺς πρωτεύοντας ἐχειρώσατο καὶ τοῖς φιλοσόφοις οὐ φαῦλον οὐδ᾽ ὀλίγον ὑπὲρ αὐτῆς παρέσχε*
2 *λόγον. ὅτι μὲν γὰρ ἦν Μιλησία γένος Ἀξιόχου θυγάτηρ ὁμολογεῖται. φασὶ δ᾽ αὐτὴν Θαργηλίαν τινὰ τῶν παλαιῶν Ἰάδων ζηλώσασαν ἐπιθέσθαι τοῖς δυνατωτάτοις ἀνδράσι. καὶ γὰρ ἡ Θαργηλία τό τ᾽ εἶδος εὐπρεπὴς γενομένη καὶ χάριν ἔχουσα μετὰ δεινότητος πλείστοις μὲν Ἑλλήνων συνῴκησεν ἀνδράσι, πάντας δὲ προσεποίησε βασιλεῖ τοὺς πλησιάσαντας αὐτῇ καὶ ταῖς πόλεσι μηδισμοῦ δι᾽ ἐκείνων ὑπέσπειρεν ἀρχὰς δυνατωτάτων ὄντων καὶ μεγίστων. τὴν δ᾽ Ἀσπασίαν οἱ μὲν ὡς σοφήν τινα καὶ πολιτικὴν ὑπὸ τὸν Περικλέους σπουδασθῆναι λέγουσι· καὶ γὰρ Σωκράτης ἔστιν ὅτε μετὰ τῶν γνωρίμων ἐφοίτα καὶ τὰς γυναῖκας ἀκροασομένας οἱ συνήθεις ἦγον εἰς αὐτήν, καίπερ οὐ χρησμίου προεστῶσαν ἐργασίας οὐδὲ σεμνῆς, ἀλλὰ παιδίσκας*

verzichte. — *τὸν πλοῦν* den notorisch bekannten. — *πόλεμον*, Ol. 85, 1 um den Besitz von Priene in Karien (25, 1): *οἱ Μιλήσιοι ἐλασσούμενοι τῷ πολέμῳ παρ᾽ Ἀθηναίους ἐλθόντες κατεβόων τῶν Σαμίων· ξυνεπελαμβάνοντο δὲ καὶ ἐξ αὐτῆς τῆς Σάμου ἄνδρες ἰδιῶται νεωτερίσαι βουλόμενοι τὴν πολιτείαν*, Thuc. 1, 115. — *μάλιστα* gehört zu *εἴη ἂν καιρός*. — *φαῦλον* gewöhnlich.

2. *γένος* sehr häufig so ohne Artikel. — *Θαργηλία*, Athenäus 13, 608 f: *Θαργηλία τεσσαρσικαίδεκα ἀνδράσιν ἐγαμήθη, οὖσα καὶ τὸ εἶδος πάνυ καλὴ καὶ σοφή.* — *δεινότης* Gewandtheit in politischen Intriguen. — *οἱ μέν*, der Gegensatz folgt in *φαίνεται μέντοι*. — *ἔστιν ὅτε* vgl. 15, 1. — *ἐφοίτα* geht gleichfalls zu *εἰς αὐτήν*, wo *αὐτ* einen lokalen Begriff (*οἰκίαν*) tritt. — *γνωρίμων* = *μαθητῶν*. — *προβατοκάπηλον*, Kleinhändler, Detaillisten (*κάπηλοι*), gab es allen Waarenartikeln; ihr Gewer war verachtet. — *φύσιν* Natur, Wesen.

3. *τὰ πρῶτα* der Anfang des Gesprächs, eine angeblich von Aspasia improvisirte Leichenr enthaltend, wie man gewöhnlich annimmt als ironisches Gegenstück der berühmten Perikleischen. Die Zweifel an der Aechtheit des Dialogs scheinen sich durch Plutarchs richtige Annahme eines Scherzes zu lösen. — *δόξαν εἶχε* in dem Rufe stand. — *ἐπὶ ῥητορικῇ* der

ιρούσας τρέφουσαν· Αἰσχίνης δέ φησι καὶ Ἀνσικλέα προβατοκάπηλον ἐξ ἀγεννοῦς καὶ ταπεινοῦ τὴν φύσιν ηναίων γενέσθαι πρῶτον Ἀσπασίᾳ συνόντα μετὰ τὴν ικλέους τελευτήν. ἐν δὲ τῷ Μενεξένῳ τῷ Πλάτωνος, 3
αὶ μετὰ παιδιᾶς τὰ πρῶτα γέγραπται, τοσοῦτόν γ' ρίας ἔνεστιν, ὅτι δόξαν εἶχε τὸ γύναιον ἐπὶ ῥητορικῇ οῖς Ἀθηναίων ὁμιλεῖν. φαίνεται μέντοι μᾶλλον ἐρωτις ἡ τοῦ Περικλέους ἀγάπησις γενομένη πρὸς Ἀσπα-
ἦν μὲν γὰρ αὐτῷ γυνὴ προσήκουσα μὲν κατὰ γένος, κηκυῖα δ' Ἱππονίκῳ πρότερον, ἐξ οὗ Καλλίαν ἔτεκε λούσιον· ἔτεκε δὲ καὶ παρὰ τῷ Περικλεῖ Ξάνθιππον Πάραλον. εἶτα τῆς συμβιώσεως οὐκ οὔσης αὐτοῖς ἀρεἐκείνην μὲν ἑτέρῳ βουλομένην συνεξέδωκεν, αὐτὸς ν Ἀσπασίαν λαβὼν ἔστερξε διαφερόντως. καὶ γὰρ ὡς φασι, καὶ εἰσιὼν ἀπ' ἀγορᾶς ἠσπάζετο καθ' ν αὐτὴν μετὰ τοῦ καταφιλεῖν. ἐν δὲ ταῖς κωμῳδίαις ἄλη τε νέα καὶ Λητιάνειρα καὶ πάλιν Ἥρα προσέται. Κρατῖνος δ' ἀντικρὺς παλλακὴν αὐτὴν εἰρηκατούτοις.

Ἥραν τέ οἱ Ἀσπασίαν τίκτει Καταπυγοσύνη
παλλακὴν κυνώπιδα.

st wegen. — *ἀγάπησις* nur pätern Gräcität gebräuch- *πλούσιον*, stehendes Bei- Kallias, dessen Reichthum tlich war. — *συνεξέδωκε*, *υρίῳ*, zur vollen Rechtskeit einer Ehe gehörte s vorgängige Verlöbniss n dessen, in dessen Gerechtlich die zu Verheibefand (*κύριος*), mithin s oder Grossvaters, in degelung aber des Bruders, des nächsten männlichen der bestellten Vormunds', rmann, Staatsalterth. §. rigens waren EhescheiAthen nicht erschwert: lligung beider Theile e Ehe sofort gelöst werden, nur musste der Mann das Eingebrachte der Frau zurückgeben oder mit 9 Obolen von der Mine monatlich verzinsen. — Omphale und Deianira komische Bezeichnungen des Einflusses der Aspasia auf Perikles durch Vergleichung mit der Macht, die nach bekannten Mythen die genannten Frauen über den gewaltigen Herakles gehabt haben sollten: über *Ἥρα* s. z. c. 3. — *Κρατῖνος*, offenbar standen diese daktylisch-trochäischen Verse in Verbindung mit den c. 3 aus dem Stück *Χείρωνες* erhaltenen die Sprache der alten Theogonien travestirenden Worten. — *Ἥραν* — *Ἀσπασίαν*, die Hera-Aspasia. — *Καταπυγοσύνη*, die Impudicitia macht der Dichter mit gehässiger

4 δοκεῖ δὲ καὶ τὸν νόθον ἐκ ταύτης τεκνῶσαι, περὶ οὗ πε-
ποίηκεν Εὔπολις ἐν Δήμοις αὐτὸν μὲν οὕτως ἐρωτῶντα·

ὁ νόθος δέ μοι ζῇ;

τὸν δὲ Μυρωνίδην ἀποκρινόμενον·

καὶ πάλαι γ' ἂν ἦν ἀνὴρ,
εἰ μὴ τὸ τῆς πόρνης ὑπωρρώδει κακόν.

οὕτω δὲ τὴν Ἀσπασίαν ὀνομαστὴν καὶ κλεινὴν γενέσθαι λέγουσιν, ὥστε καὶ Κῦρον τὸν πολεμήσαντα βασιλεῖ περὶ τῆς τῶν Περσῶν ἡγεμονίας τὴν ἀγαπωμένην ὑπ' αὐτοῦ μάλιστα τῶν παλλακίδων Ἀσπασίαν ὀνομάσαι καλουμένην Μιλτὼ πρότερον. ἦν δὲ Φωκαΐς τὸ γένος Ἑρμοτίμου θυγάτηρ· ἐν δὲ τῇ μάχῃ Κύρου πεσόντος ἀπαχθεῖσα πρὸς βασιλέα πλεῖστον ἴσχυσε. ταῦτα μὲν ἐπελθόντα τῇ μνήμῃ κατὰ τὴν γραφὴν ἀπώσασθαι καὶ παρελθεῖν ἴσως ἀπάνθρωπον ἦν.

**25.** τὸν δὲ πρὸς Σαμίους πόλεμον αἰτιῶνται μάλιστα τὸν Περικλέα ψηφίσασθαι διὰ Μιλησίους Ἀσπασίας δεηθείσης. αἱ γὰρ πόλεις ἐπολέμουν τὸν περὶ Πριήνης πόλεμον καὶ κρατοῦντες οἱ Σάμιοι παύσασθαι τῶν Ἀθηναίων κελευόντων καὶ δίκας λαβεῖν καὶ δοῦναι παρ' αὐτοῖς οὐκ ἐπείθοντο. πλεύσας οὖν ὁ Περικλῆς τὴν μὲν οὖσαν ὁλκάδα χίαν ἐν Σάμῳ κατέλυσεν, τῶν δὲ πρώτων λαβὼν ὁμήρους πεντήκοντα καὶ παῖδας ἴσους εἰς Λῆμνον ἀπέστειλε. καὶ

Bitterkeit zur Mutter der Aspasia als einer *παλλακή*.

4. *τὸν νόθον* s. c. 37. — *Εὔπολις* z. 3, 3. — Myronides schon c. 16 unter den ersten Männern Athens genannt ist vorzüglich berühmt als Sieger bei Oenophyta in Böotien. — *καὶ* — *γέ* in Antworten die Frage mit Hinzufügung von etwas neuem u. stärkerem bejahend. — *κακόν*, entweder allgemein die Schande seiner Geburt, oder speciell *τὴν νοθείαν*. — *πολεμήσαντα*, in dem von Xenophon beschriebenen Unternehmen Ol. 94, 3 = 401. — *Μιλτώ*, so von ihrer blühenden Gesichtsfarbe (Aelian v. h. 12, 1) genannt: sie war aus Phokäa Ionien. — *μάχη*, bei Kunaxa: Begebenheit gedenkt Xen. Anab. 10, 2. — *ἴσχυσε* gewann Einfluß — *ἐπελθεῖν* von dem, was von selbst aufdrängt. — *ἀπάνθρωπον*, etwa: unnatürlich. — wir: wäre gewesen.

**25.** 1. *περὶ Πριήνης* s. 24, — *δίκας λαβεῖν* (gewöhnlich *χεσθαι*) *καὶ δοῦναι*, rechtlich Verfahren annehmen u. gegen gestatten, Bezeichnung rechtlich Ausgleichung im Gegensatz zu waltsamer Lösung. Der währe ihrer Meereshersrschaft von Athenern gegen die zinspflichtig

τοι φασὶν ἕκαστον μὲν αὐτῷ τῶν ὁμήρων διδόναι τάλαντον
ὑπὲρ ἑαυτοῦ, πολλὰ δ' ἄλλα τοὺς μὴ θέλοντας ἐν τῇ πόλει
γενέσθαι δημοκρατίαν. ἔτι δὲ Πισσούθνης ὁ Πέρσης ἔχων 2
χρὰ πρὸς Σαμίους εὔνοιαν ἀπέστειλεν αὐτῷ μυρίους χρυ-
σοῦς παραιτούμενος τὴν πόλιν. οὐ μὴν ἔλαβε τούτων οὐ-
δὲν ὁ Περικλῆς, ἀλλὰ χρησάμενος ὥσπερ ἐγνώκει τοῖς Σα-
μίοις καὶ καταστήσας δημοκρατίαν ἀπέπλευσεν εἰς τὰς
Ἀθήνας. οἱ δ' εὐθὺς ἀπέστησαν ἐκκλέψαντος αὐτοῖς τοὺς
ὁμήρους Πισσούθνου καὶ τἆλλα παρασκευάσαντος πρὸς τὸν
πόλεμον. αὖθις οὖν ὁ Περικλῆς ἐξέπλευσεν ἐπ' αὐτοὺς οὐχ
ὑπολαμβάνοντας οὐδὲ κατεπτηχότας, ἀλλὰ καὶ πάνυ προθύμως
ἀπαντῶντας ἀντιλαμβάνεσθαι τῆς θαλάττης. γενομένης δὲ
ναυμαχίας περὶ νῆσον, ἣν Τραγίαν καλοῦσι,
νικηρῶς ὁ Περικλῆς ἐνίκα τέσσαρσι καὶ τεσσαράκοντα
ναυσὶν ἑβδομήκοντα καταναυμαχήσας, ὧν εἴκοσι στρατιώ-
τιδες ἦσαν.

**26.** ἅμα δὲ τῇ νίκῃ καὶ τῇ διώξει τοῦ λιμένος κρατή-
σας ἐπολιόρκει τοὺς Σαμίους ἀμωσγέπως ἔτι τολμῶντας
ἐξιέναι καὶ διαμάχεσθαι πρὸ τοῦ τείχους. ἐπεὶ δὲ μεί-
ζων ἕτερος στόλος ἦλθεν ἐκ τῶν Ἀθηνῶν καὶ παντελῶς
ἐκλείσθησαν οἱ Σάμιοι, λαβὼν ὁ Περικλῆς ἑξήκοντα
τριήρεις ἔπλευσεν εἰς τὸν ἔξω πόντον, ὡς μὲν οἱ πλεῖστοι
λέγουσι, Φοινισσῶν νεῶν ἐπικούρων τοῖς Σαμίοις προσ-

sgenossen geübte Zwang, echtshändel in Athen zu füh- ar für diese einè besonders nde Einmischung in ihre in- ngelegenheiten. — *πλεύσας*, Schiffen, auf die Unter- g der Volkspartei rechnend . — *διδόναι* geben wol- ach Diodor 12, 27 erpresste n den Samiern 80 Talente. ssuthnes, Sohn des Hystas- trap von Sardes. — *χρυ-* ollständig *χρ. στατῆρας*, eus st. *numus aureus*. — *ων*, das Genauere bei Thuc. — *καὶ πάνυ* gar sehr. — *λάνεσθαι τῆς θαλάσσης*, die Seeherrschaft streitig machen. *Τραγίας*, bei Thuc. 1, 116 der Singular: Stephanus Byz.: *Τραγία, νῆσος πρὸς ταῖς Κυκλάσιν*. — *στρατιώτιδες* Transportschiffe, *στρατιώτας ἄγουσαι τοὺς μέλλοντας πεζομαχεῖν*, schol. Thuc., im Gegensatz zu denen, die nur ihre nöthige Bemannung hatten.

**26.** 1. *μείζων στόλος*, 40 Schiffe aus Athen und 25 von Chios und Lesbos. — *τὸν ἔξω πόντον*, im Gegensatz zum *ἐντὸς π.* (*ἡ ἐντὸς θάλασσα, ἡ καθ' ἡμᾶς* oder *ἡμετέρα θαλ.*), dem ägäischen Meere. — *οἱ πλεῖστοι*, so auch Thuc. 1, 116; denn aus Samos seien Boten um

φερομένων ἁπαντῆσαι καὶ διαγωνίσασθαι πορρωτάτω βουλόμενος, ὡς δὲ Στησίμβροτος, ἐπὶ Κύπρον στελλόμενος· ὅπερ οὐ δοκεῖ πιθανὸν εἶναι. ὁποτέρῳ δ' οὖν ἐχρήσατο τῶν λογισμῶν ἁμαρτεῖν ἔδοξε. πλεύσαντος γὰρ αὐτοῦ Μέλισσος ὁ Ἰθαγένους, ἀνὴρ φιλόσοφος, στρατηγῶν τότε τῆς Σάμου καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς
2 Ἀθηναίοις. καὶ γενομένης μάχης νικήσαντες οἱ Σάμιοι καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες, πολλὰς δὲ ναῦς διαφθείραντες ἐχρῶντο τῇ θαλάσσῃ καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον ὅσα μὴ πρότερον εἶχον. ὑπὸ δὲ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι ναυμαχοῦντα πρότερον. οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γὰρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν. ἡ δὲ σάμαινα ναῦς ἐστιν ὑόπρωρος μὲν τὸ σίμωμα, κοιλοτέρα δὲ καὶ γαστροειδὴς ὥστε καὶ φορτοφορεῖν καὶ ταχυναυτεῖν. οὕτω δ' ὠνομάσθη διὰ τὸ πρῶτον ἐν Σάμῳ φανῆναι, Πολυκράτους τυράννου κατασκευάσαντος. πρὸς ταῦτα τὰ στίγματα λέγουσι καὶ τὸ Ἀριστοφάνειον ᾐνίχθαι·

Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος.

Beistand an die phönicische Flotte gesandt worden. — δ' οὖν setzt dem unentschieden Gelassnen etwas Unzweifelhaftes entgegen. — *Μέλισσος* z. Them. 2, 3.

2. *ἐχρῶντο τῇ θαλάσσῃ*, von freier u. ungehinderter Beschiffung des Meeres. — *γλαῦκας*, das Wahrzeichen, Wappen Athens. Nach einer andern wohl glaublichern Nachricht brannten die Athener den Samiern eine Eule ein, gleichsam als ihren Sklaven, die Samier den Athenern eine *σάμαινα*, wie die folgende Erklärung zeigt, ein Schiff mit schweinsrüsselförmig gebognem Schnabel: der Singular auf mehrere Individuen bezogen ist von jedem besonders zu denken, jedem eine *σάμαινα*. — Polykrates bekannter Tyrann von Samos um 530. — *Ἀριστοφάνειον*, aus den Babyloniern. — *πολυγράμματος*, buchstabenreich nennt der Komiker spottend die Samier vielleicht nicht blos auf die Brandmarken, sondern auch darauf anspielend, dass die Samier die ersten gewesen sein sollen, die 24 Buchstaben brauchten.

27. 1. δ' οὖν nimmt die durch den Zwischensatz unterbrochne Erzählung wieder auf. — *συνελεῖν* für erobern auch Lys. 14. — *ὀκτὼ μέρη διελών*, durch Theilung die ganze Zahl zu 8 Theilen machend, so die gewöhnliche Konstruktion statt des gleichfalls ge-

**27.** πυθόμενος δ' οὖν ὁ Περικλῆς τὴν ἐπὶ στρατοπέδου συμφορὰν ἐβοήθει κατὰ τάχος. καὶ τοῦ Μελίσσου πρὸς αὐτὸν ἀντιταξαμένου κρατήσας καὶ τρεψάμενος τοὺς πολεμίους εὐθὺς περιετείχιζε δαπάνῃ καὶ χρόνῳ μᾶλλον ἢ τραύμασι καὶ κινδύνοις τῶν πολιτῶν περιγενέσθαι καὶ συνελεῖν τὴν πόλιν βουλόμενος. ἐπεὶ δὲ δυσχεραίνοντας τῇ τριβῇ τοὺς Ἀθηναίους καὶ μάχεσθαι προθυμουμένους ἔργον ἦν κατασχεῖν, ὀκτὼ μέρη διελὼν τὸ πᾶν πλῆθος ἀπεκλήρου καὶ τῷ λαβόντι τὸν λευκὸν κύαμον εὐωχεῖσθαι καὶ σχολάζειν παρεῖχε τῶν ἄλλων μαχομένων. διὸ καί φασι τοὺς ἐν εὐπαθείαις τισὶ γενομένους λευκὴν ἡμέραν ἐκείνην ἀπὸ τοῦ λευκοῦ κυάμου προσαγορεύειν. Ἔφορος δὲ καὶ μηχαναῖς χρήσασθαι τὸν Περικλέα τὴν καινότητα θαυμάσαντα Ἀρτέμωνος τοῦ μηχανικοῦ παρόντος, ὃν χωλὸν ὄντα καὶ φορείῳ πρὸς τὰ κατεπείγοντα τῶν ἔργων προσκομιζόμενον ὀνομασθῆναι Περιφόρητον. τοῦτο μὲν οὖν Ἡρακλείης ὁ Ποντικὸς ἐλέγχει τοῖς Ἀνακρέοντος ποιήμασιν, ἐν οἷς ὁ Περιφόρητος Ἀρτέμων ὀνομάζεται πολλαῖς ἔμροσθεν ἡλικίαις τοῦ περὶ Σάμον πολέμου καὶ τῶν πραγάτων ἐκείνων. τὸν δ' Ἀρτέμωνά φησι τρυφερόν τινα τῷ 2

äuchlichen διελεῖν εἰς oder κατά. ἀπεκλήρου verlooste, liess loon, ohne dass ein bestimmtes Obj. dacht wird. — τὸν λευκόν die ne) weisse unter den 8 Bohnen, n denen 7 von andrer Farbe wa-. Gewöhnlich leitet man den üchwörtlichen Ausdruck von dem brauch der Scythen oder Thra- ab, den glücklichen Tag mit em weissen, den unglücklichen ch einen schwarzen Stein zu behnen. Mit Recht findet Becker rikl. 2, 129 diese Erklärung zu stlich und eine viel natürlichere on in den Worten der Atossa Aeschylus in den Persern 305 edeutet: ἐμοῖς μὲν εἰπας δώειν φάος μέγα καὶ λευκὸν ἡμαρ τοὺς ἐκ μελαγχίμου. — Ἔφορος, em folgt Diodor 12, 28, der auch von den Erfolgen zu berichten weiss: ἐνεργῶς δὲ πολιορκήσας τὴν πόλιν καὶ ταῖς μηχαναῖς καταβαλὼν τὰ τείχη κύριος ἐγένετο τῆς Σάμου. — τὰ κατεπείγοντα die dringenden, seine Gegenwart erfordernden.

2. τοῦτο, die Behauptung der Anwesenheit; der Gegensatz τὸν δ' Ἀρτ. bringt eine abweichende Erklärung seines Beinamens. — Es ist wahrscheinlich, dass es zwei zu ganz verschiednen Zeiten lebende Männer dieses Namens gegeben hat, von denen der von Anakreon erwähnte in Folge seiner hier geschilderten Weichlichkeit, der spätere Zeitgenosse des Per. wegen seiner Lahmheit von einer Sänfte Gebrauch machend den Beinamen περιφόρητος erhielt. — πολλαῖς

βίῳ καὶ πρὸς τοὺς φόβους μαλακὸν ὄντα καὶ καταπλῆγ
τὰ πολλὰ μὲν οἴκοι καθέζεσθαι χαλκῆν ἀσπίδα τῆς κεφα
λῆς αὐτοῦ δυεῖν οἰκετῶν ὑπερεχόντων, ὥστε μηδὲν ἐμπε
σεῖν τῶν ἄνωθεν· εἰ δὲ βιασθείη προελθεῖν ἐν κλινιδί
κρεμαστῷ παρὰ τὴν γῆν αὐτὴν παραφερόμενον κομίζεσθα
καὶ διὰ τοῦτο κληθῆναι Περιφόρητον.

**28.** ἐνάτῳ δὲ μηνὶ τῶν Σαμίων παραστάντων ὁ Πε
ρικλῆς τὰ τείχη καθεῖλε καὶ τὰς ναῦς παρέλαβε καὶ χρή
μασι πολλοῖς ἐζημίωσεν· ὧν τὰ μὲν εὐθὺς ἤνεγκαν οἱ Σά
μιοι, τὰ δ' ἐν χρόνῳ ῥητῷ ταξάμενοι κατοίσειν ὁμήρους
ἔδωκαν. Δοῦρις δ' ὁ Σάμιος τούτοις ἐπιτραγῳδεῖ πολλὴν
ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν,
ἣν οὔτε Θουκυδίδης ἱστόρηκεν οὔτ' Ἔφορος οὔτ' Ἀριστο
τέλης· ἀλλ' οὐδ' ἀληθεύειν ἔοικεν, ὡς ἄρα τοὺς τριηράρ
χους καὶ τοὺς ἐπιβάτας τῶν Σαμίων εἰς τὴν Μιλησίων ἀγο
ρὰν ἀγαγὼν καὶ σανίσι προσδήσας ἐφ' ἡμέρας δέκα κακῶς
ἤδη διακειμένους προσέταξεν ἀνελεῖν ξύλοις τὰς κεφαλὰς
2 συγκόψαντας, εἶτα προβαλεῖν ἀκήδευτα τὰ σώματα. Δοῦ
ρις μὲν οὖν οὐδ' ὅπου μηδὲν αὐτῷ πρόσεστιν ἴδιον πάθος
εἰωθὼς κρατεῖν τὴν διήγησιν ἐπὶ τῆς ἀληθείας μᾶλλον
ἔοικεν ἐνταῦθα δεινῶσαι τὰς τῆς πατρίδος συμφορὰς ἐπὶ

ἡλικίαις, nm 560. — τινά (*quidam*, engl. *one*) ein Mensch von. — τοὺς φόβους alle Arten von Schrecken, Gefahren. — ἄνωθεν st. τῶν ἄνω ἄνωθεν ἐμπεσεῖν.

**28.** 1. ἐνάτῳ μηνί, vom Anfang der Belagerung an gerechnet. — παραστάντων sich durch Kapitulation unterworfen hatten, bei Thuc. 1, 117 ὁμολογίᾳ προσχωρεῖν. — χρήμασι Ersatz der Kriegskosten, bei Thuc. χρήματα τὰ ἀναλωθέντα, nach Isocrates or. 11, 111 im Betrag von 1000 Tal., nach Nepos Timoth. 1 von 1200, nach Diodor 12, 28 von nur 200. — ταξάμενοι, τάξαντες ἑαυτοῖς προθεσμίαν εἰς τὸ κατοίσειν, Coraes. — nicht nur σανίσι προσδεῖν, sondern auch σ. προσπασσαλεύειν wird als Bestrafung öfter erwähnt, dieses der Kreuzigung entsprechend, erstere wohl mehr eine Ausstellung zur Schmach; übrigens ist σανίς in diesen Verbindungen nicht Brett, sondern nach alten Lexikographen Pfahl. — προβαλεῖν z. Thes. 22, 1.

2. μὲν οὖν schliesst den Uebergang zu etwas Neuem vorbereitend das Vorhergehende summarisch ab. — ἴδιον πάθος persönliches Interesse. — κρατεῖν —, die Erzählung in den Schranken der Wahrheit halten. — ἐποίησε veranstaltete: die Leichenfeier der im Krieg für das Vaterland Gefallenen fand, nach, wie es scheint, von Solon herrührender Sitte von Staatswegen statt; die Ceremonien beschrei

διαβολῇ τῶν Ἀθηναίων. ὁ δὲ Περικλῆς καταστρεψάμενος τὴν Σάμον ὡς ἐπανῆλθεν εἰς τὰς Ἀθήνας ταφάς τε τῶν ἀποθανόντων κατὰ τὸν πόλεμον ἐνδόξους ἐποίησε καὶ τὸν λόγον εἶπών, ὥσπερ ἔθος ἐστὶν ἐπὶ τῶν σημάτων, ἐθαυμαστώθη. καταβαίνοντα δ' αὐτὸν ἀπὸ τοῦ βήματος αἱ μὲν ἄλλαι γυναῖκες ἐδεξιοῦντο καὶ στεφάνοις ἀνέδουν καὶ ταινίαις ὥσπερ ἀθλητὴν νικηφόρον, ἡ δ' Ἐλπινίκη προσελθοῦσα πλησίον· „ταῦτ'" ἔφη „θαυμαστά, Περίκλεις, καὶ ἄξια στεφάνων, ὃς ἡμῖν πολλοὺς καὶ ἀγαθοὺς ἀπώλεσας πολίτας οὐ Φοίνιξι πολεμῶν οὐδὲ Μήδοις, ὥσπερ οὑμὸς ἀδελφὸς Κίμων, ἀλλὰ σύμμαχον καὶ συγγενῆ πόλιν καταστρεφόμενος." ταῦτα τῆς Ἐλπινίκης λεγούσης ὁ Περικλῆς 3
μειδιάσας ἀτρέμα λέγεται τὸ τοῦ Ἀρχιλόχου πρὸς αὐτὴν εἰπεῖν·

οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφεο.

Θαυμαστὸν δέ τι καὶ μέγα φρονῆσαι καταπολεμήσαντα τοὺς Σαμίους φησὶν αὐτὸν ὁ Ἴων, ὡς τοῦ μὲν Ἀγαμέμνονος ἔτεσι δέκα βάρβαρον πόλιν, αὐτοῦ δὲ μησὶν ἐννέα τοὺς πρώτους καὶ δυνατωτάτους Ἰώνων ἑλόντος. καὶ οὐκ ἦν ἄδικος ἡ ἀξίωσις, ἀλλ' ὄντως πολλὴν ἀδηλότητα καὶ μέγαν ἔσχε κίνδυνον ὁ πόλεμος, εἴπερ, ὡς Θουκυδίδης φησί, παρ' ἐλάχιστον ἦλθε

Thuc. 2, 34 ff.; die damit verbundene Festrede, der λόγος ἐπιτάφιος, ist späteren Ursprungs, vielleicht aus der Zeit der Perserkriege; eine Perikleische dieser Art hat Thucyd. erhalten. — ἐδεξιοῦντο begrüssten. — στεφάνοις καὶ ταινίαις, mit Laubkränzen und Tänien legte man die Sieger bei den öffentlichen Festspielen zu beschenken. — ταῦτ' — kann auch als Frage gefasst werden, doch scheint die andere Fassung sarkastischer. ὅς, als ob vorhergegangen wäre: τοῦτα θαυμαστὰ σοῦ: die Zuckbeziehung des Pron. auf eine Vorhergehenden nicht genannte Person ist zwar hart, aber nicht unerhört, vgl. Lysias or. 7, 23: πονότατα οὖν πάσχω (= με ποιεῖ), ὅς, εἰ μὲν παρέσχετο μάρτυρας, τούτοις ἂν ἠξίου πιστεύειν —.

3. Die mit den Worten des Archilochus gegebne Abfertigung der Elpinike: du würdest dich, als ein altes Weib, der Salben nicht bedienen, fasst man wohl am besten mit Ergänzung eines Conditionalsatzes (wenn du nicht eine Thörin wärest) in dem Gesammtsinn: du bist eine alte Närrin. Ob der wiederholte (10, 3) Vorwurf des Alters ein zufälliger sei, oder eine bestimmte Beziehung habe, ist nicht zu entscheiden. — ὡς subjective d. h. aus der Vorstellung des Per. gegebne Begründung. — ἀξίωσις Würdigung, Anspruch. — παρ' ἐλάχιστον ἦλθε um ein weniges kam es, dass sie entriss d. h. sie

Σαμίων ἡ πόλις ἀφελέσθαι τῆς θαλάττης τὸ κράτος Ἀθηναίους.

**29.** μετὰ ταῦτα κυμαίνοντος ἤδη τοῦ Πελοποννησιακοῦ πολέμου Κερκυραίοις πολεμουμένοις ὑπὸ Κορινθίων ἔπεισε τὸν δῆμον ἀποστεῖλαι βοήθειαν καὶ προσλαβεῖν ἐρρωμένην ναυτικῇ δυνάμει νῆσον, ὡς ὅσον οὐδέπω Πελοποννησίων ἐκπεπολεμωμένων πρὸς αὐτούς. ψηφισαμένου δὲ τοῦ δήμου τὴν βοήθειαν ἀπέστειλε δέκα ναῦς μόνας ἔχοντα Λακεδαιμόνιον, τὸν Κίμωνος υἱόν, οἷον ἐφυβρίζων· πολλὴ γὰρ ἦν εὔνοια καὶ φιλία τῷ Κίμωνος οἴκῳ πρὸς Λακεδαιμονίους· ὡς ἂν οὖν, εἰ μηδὲν ἔργον μέγα μηδ' ἐκπρεπὲς ἐν τῇ στρατηγίᾳ τοῦ Λακεδαιμονίου γένοιτο, προδιαβληθείη μᾶλλον εἰς τὸν Λακωνισμὸν ὀλίγας αὐτῷ ναῦς
2 ἔδωκε καὶ μὴ βουλόμενον ἐξέπεμψε. καὶ ὅλως διετέλει κολούων, ὡς μηδὲ τοῖς ὀνόμασι γνησίους, ἀλλ' ὀθνείους καὶ ξένους, ὅτι τῶν Κίμωνος υἱῶν τῷ μὲν ἦν Λακεδαιμόνιος ὄνομα, τῷ δὲ Θεσσαλὸς, τῷ δὲ Ἠλεῖος. ἐδόκουν δὲ πάντες ἐκ γυναικὸς Ἀρκαδικῆς γεγονέναι. κακῶς οὖν ὁ Περικλῆς ἀκούων διὰ τὰς δέκα ταύτας τριήρεις, ὡς μικρὰν μὲν βοή-

würde die Herrschaft entrissen haben, wenn nicht nur wenig dazwischen getreten wäre.

**29.** 1. μετὰ ταῦτα, Ol. 86, 4 = 433. — ὅσον οὔπω fast schon, eigentlich: es fehlt nur soviel, dass noch nicht. — ὡς ἂν οὖν — dieses dem Per. untergeschobne gehässige Motiv scheint nach Cim. 16 nur auf dem Lästerbericht des Stesimbrotus zu beruhen; auf eine ausreichende militärische Unterstützung war es gar nicht abgesehen, die 10 Schiffe sollten durchaus nicht angriffsweise verfahren, sondern hatten die Ordre μὴ ναυμαχεῖν Κορινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι καὶ μέλλωσιν ἀποβαίνειν ἢ ἐς ἐκείνων τι χωρίον· οὕτω δὲ κωλύειν κατὰ δύναμιν· προεῖπον δὲ ταῦτα τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς, Thuc. 1, 45. — τὸν Λακωνισμόν die Hinneigung der Familie zu Sparta war notorisch.

2. ὡς μηδέ —, deutlich aus Stesimbrotus, s. Cim. 16: Στησίμβροτος ἱστορεῖ — πολλάκις τὸν Περικλέα τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν. Den Grund, warum Cimon seine Söhne so benannt habe, giebt der Scholiast zu Aristides 3, 515 an: υἱοὺς δὲ ἔσχεν ἕξ, ὧν τοὺς μὲν τρεῖς ἀπὸ ἐθνῶν, ὧν προῄρηνισεν, ὠνόμασε, Λακεδαιμόνιον, Ἠλεῖον, Θετταλόν, τοὺς δὲ τοῖς ἀπὸ ὀνομάτων τῆς συγγενείας, Μιλτιάδην, Κίμωνα καὶ Πεισανακτα. — Θεσσαλός, gegen die sonstige Analogie oxytonirt. — Ἀρκαδικῆς, aus der arkadischen Stadt Κλείτωρ. — ἑτέρας πλείονας zwanzig, Thuc. 1, 50. — μάχην

θειαν τοῖς δεηθεῖσι, μεγάλην δὲ πρόφασιν τοῖς ἐγκαλοῦσι παρεσχηκὼς, ἑτέρας αὖθις ἔστειλε πλείονας εἰς τὴν Κέρκυραν, αἳ μετὰ τὴν μάχην ἀφίκοντο. Χαλεπαίνουσι δὲ τοῖς Κορινθίοις καὶ κατηγοροῦσι τῶν Ἀθηναίων ἐν Λακεδαίμονι προσεγένοντο Μεγαρεῖς αἰτιώμενοι πάσης μὲν ἀγορᾶς, πάντων δὲ λιμένων, ὧν Ἀθηναῖοι κρατοῦσιν, εἴργεσθαι καὶ ἀπελαύνεσθαι παρὰ τὰ κοινὰ δίκαια καὶ τοὺς γεγενημένους ὅρκους τοῖς Ἕλλησιν· Αἰγινῆται δὲ κακοῦσθαι δοκοῦντες καὶ βίαια πάσχειν ἐποτνιῶντο κρύφα πρὸς τοὺς Λακεδαιμονίους φανερῶς ἐγκαλεῖν τοῖς Ἀθηναίοις οὐ θαρροῦντες. ἐν δὲ τούτῳ καὶ Ποτίδαια, πόλις ὑπήκοος 3
Ἀθηναίων, ἄποικος δὲ Κορινθίων, ἀποστᾶσα καὶ πολιορκουμένη μᾶλλον ἐπετάχυνε τὸν πόλεμον. οὐ μὴν ἀλλὰ πρεσβειῶν τε πεμπομένων Ἀθήναζε καὶ τοῦ βασιλέως τῶν Λακεδαιμονίων Ἀρχιδάμου τὰ πολλὰ τῶν ἐγκλημάτων εἰς διαλύσεις ἄγοντος καὶ τοὺς συμμάχους πραΰνοντος οὐκ ἂν δοκεῖ συμπεσεῖν ὑπό γε τῶν ἄλλων αἰτιῶν ὁ πόλεμος τοῖς Ἀθηναίοις, εἰ τὸ ψήφισμα καθελεῖν τὸ Μεγαρικὸν ἐπείσθησαν καὶ διαλλαγῆναι πρὸς αὐτούς. διὸ καὶ μάλιστα

bei Sybota, beschrieben von Thuc. 1, 49 ff. — *κατηγοροῦσι*, weil sie den 30jährigen Vertrag gebrochen. — *ἀγορᾶς εἴργεσθαι*, die, wie es scheint, im Sommer 432 verhängte Handelssperre war für Megaris wegen seines bedeutenden Seehandels eine Lebensfrage. — *τὰ κοινά* das sonst in Friedenszeiten unter den Hellenen übliche Völkerrecht (Krüger. Stud. 195). — die Aegineten 431. 80 ¾ unterworfen und in strenger Abhängigkeit von Athen gehalten beklagten sich *οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς*, Thuc. 1, 67, d. h. gemäss dem 30jährigen Vertrag, in dem, wie es scheint, in Artikel den abhängigen Staaten die Rückgabe ihrer Selbständigkeit bestimmte (Krüger S. 194). — *ἀνερῶς οὐ θαρροῦντες*, weil sie bei der Nähe Athens empfindlicher Züchtigung gewärtig sein mussten.

3. Nach der Schlacht bei Sybota verlangten die Athener von Potidäa, einer ihnen zinspflichtigen Pflanzstadt Korinths in Thracien, aus Argwohn gegen Korinth die Schleifung ihrer Mauern. Dadurch kam es zum Abfall der Stadt, die nach zweijähriger Belagerung 429 sich den Athenern ergeben musste. — *πρεσβειῶν*, dreimal wurden vergeblich Gesandte nach Athen geschickt. — *Ἀρχιδάμου*, seine Rede bei Thucyd. 1, 80 ff. — *εἰς διαλύσεις ἄγειν* zu friedlicher Lösung führen wollen. — *οὐκ* Wiederholung der Negation von *οὐ μὴν ἀλλά*, das zur Formel indessen geworden ist. — *ὑπό*, weil *συμπεσεῖν* einem passiven Begriff sinngleich.

πρὸς τοῦτο Περικλῆς ἐναντιωθεὶς καὶ παροξύνας τὸν δῆμον ἐμμεῖναι τῇ πρὸς Μεγαρεῖς φιλονεικίᾳ μόνος ἔσχε τοῦ πολέμου τὴν αἰτίαν.

**30.** λέγουσι δὲ πρεσβείας Ἀθήναζε περὶ τούτων ἐκ Λακεδαίμονος ἀφιγμένης καὶ τοῦ Περικλέους νόμον τινὰ προβαλλομένου κωλύοντα καθελεῖν τὸ πινάκιον, ἐν ᾧ τὸ ψήφισμα γεγραμμένον ἐτύγχανεν, εἰπεῖν Πολυάλκη τῶν πρέσβεων τινα· „σὺ δὲ μὴ καθέλῃς, ἀλλὰ στρέψον εἴσω τὸ πινάκιον· οὐ γὰρ ἔστι νόμος ὃ τοῦτο κωλύων.“ κομψοῦ δὲ τοῦ λόγου φανέντος οὐδέν τι μᾶλλον ὁ Περικλῆς ἐνέδωκεν. ὑπῆν μὲν οὖν τις, ὡς ἔοικεν, αὐτῷ καὶ ἰδία πρὸς τοὺς Μεγαρεῖς ἀπέχθεια· κοινὴν δὲ καὶ φανερὰν ποιησάμενος αἰτίαν κατ' αὐτῶν ἀποτέμνεσθαι τὴν ἱερὰν ὀργάδα, γράφει ψήφισμα κήρυκα πεμφθῆναι πρὸς αὐτοὺς καὶ πρὸς Λακεδαιμονίους τὸν αὐτὸν κατηγοροῦντα τῶν Μεγαρέων. 2 τοῦτο μὲν οὖν τὸ ψήφισμα Περικλέους ἐστὶν εὐγνώμονος καὶ φιλανθρώπου δικαιολογίας ἐχόμενον· ἐπεὶ δ' ὁ πεμφθεὶς κῆρυξ Ἀνθεμόκριτος αἰτίᾳ τῶν Μεγαρέων ἀποθα-

**30.** 1. σὺ δέ, das zu Anfang einredender Anreden häufige δέ lässt das Gegentheil des Einwandes voraussetzen. — κομψός, von feiner und schlauer Lösung des Bedenkens. — οὐδέν τι μᾶλλον darum doch nicht, stärker als οὐδὲν μᾶλλον, eigentlich: um nichts mehr, als wenn es nicht der Fall gewesen wäre. — ἰδία ἀπέχθεια, die auch hier nur vermuthungsweise gegebne Privatursache hat keine bewährte Zeugen für sich. — κοινὴν —, denn durch diese angebliche Entheiligung wurde das Gesammtinteresse verletzt. — ὀργάδα, Helladius bei Photius 534ª: ὀργὰς μὲν κοινῶς πᾶσα ἡ γῆ, ὅση ἐπιτηδεία πρὸς καρπῶν γονέας, ὀργάδα δὲ ἰδίως ἐκάλουν οἱ Ἀθηναῖοι. τὴν ταῖν θεαῖν ἀνειμένην τῆς Ἀττικῆς μεταξὺ καὶ τῆς Μεγαρίδος: die Ländereien, welche der Gottheit zum Eigenthum geweihet waren, hatten oft keine andere Bestimmung, als brach oder wenigstens unbenutzt zu liegen, womit sich höchstens hier und da, wie es scheint, die Absicht einer scharfen Gränzmarke zwischen zwei Nachbarstaaten verband', K. Fr. Hermann gottesdienstl. Alterth. 20, 11. — κατηγοροῦντα als Anklagenden.

2. κῆρυξ, die Unverletzlichkeit öffentlicher Gesandter und Herolde kennt schon die homerische Zeit. — Ἀνθεμοκρίτου — des von Thucydides nicht erwähnten Faktums gedenkt ausser Andern Pausanias 1, 36, 3: ἰοῦσι δὲ ἐπ' Ἐλευσῖνα ἐξ Ἀθηνῶν, ἣν Ἀθηναῖοι καλοῦσιν ὁδὸν ἱεράν, Ἀνθεμοκρίτου πεποίηται μνῆμα. ἐς τοῦτον Μεγαρεῦσίν ἐστιν ἀνοσιώτατον ἔργον, οἳ κήρυκα ἐλθόντα, ὡς μὴ τοῦ λοιποῦ τὴν χώραν ἐπεργάζοιντο, κτείνουσιν Ἀνθε-

νεῖν ἔδοξε, γράφει ψήφισμα κατ' αὐτῶν Χαρῖνος, ἄσπονδον μὲν εἶναι καὶ ἀκήρυκτον ἔχθραν, ὃς δ' ἂν ἐπιβῇ τῆς Ἀττικῆς Μεγαρέων θανάτῳ ζημιοῦσθαι, τοὺς δὲ στρατηγοὺς, ὅταν ὀμνύωσι τὸν πάτριον ὅρκον, ἐπομνύειν, ὅτι καὶ δὶς ἀνὰ πᾶν ἔτος εἰς τὴν Μεγαρικὴν ἐμβαλοῦσι· ταφῆναι δ' Ἀνθεμόκριτον παρὰ τὰς Θριασίας πύλας, αἳ νῦν Λίπυλον ὀνομάζονται. Μεγαρεῖς δὲ τὸν Ἀνθεμοκρίτου φόνον ἀπαρνούμενοι τὰς αἰτίας εἰς Ἀσπασίαν καὶ Περικλέα τρέπουσι χρώμενοι τοῖς περιβοήτοις καὶ δημώδεσι τούτοις ἐκ τῶν Ἀχαρνέων στιχιδίοις·

πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγάραδε
νεανίαι κλέπτουσι μεθυσοκόταβοι·
κἄθ' οἱ Μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνας δύο.

**31.** τὴν μὲν οὖν ἀρχὴν ὅπως ἔσχεν οὐ ῥᾴδιον γνῶναι· τοῦ δὲ μὴ λυθῆναι τὸ ψήφισμα πάντες ὡσαύτως τὴν αἰτίαν ἐπιφέρουσι τῷ Περικλεῖ. πλὴν οἱ μὲν ἐκ φρονήματος μεγάλου μετὰ γνώμης κατὰ τὸ βέλτιστον

μόκριτον· καὶ σφίσι ταῦτα δράσασι παραμένει καὶ ἐς τόδε μήνια ἐκ τοῦν θεοῖν. — ἄσπονδον καὶ ἀκήρυκτον, also jede Möglichkeit einer friedlichen Lösung ausschliessend. — καὶ δίς —, ausser der Erfüllung ihrer übrigen im Eid enthaltenen Pflichten; dass diese jährlichen zweimaligen Einfälle wirklich statt gefunden, sagt Thuc. 4, 6. — Θριάσιαι πύλαι, Thor im Nordwesten der Stadt zur gleichnamigen Ebne bei Eleusis führend; den Namen Λίπυλον erklärt die Bemerkung des Livius 31, 24: *maior aliquanto patentiorque quam ceterae.* — Ἀχαρνέων, 524 ff. — Σιμαίθα, Eigennamen der Dirne. — μεθυσοκόταβοι trunken vom Kottabus, dem liebtesten Spiel beim Symposium, wobei mancherlei Variationen hatte. Ich den verschiedenartigen zum Theil dunklen Angaben darüber

war es eine Art Bechergymnastik, bei der die wesentlichste Aufgabe darin bestand, den Rest des Weins im Becher so in die Höhe zu spritzen, dass ein schwimmendes oder wagrecht hangendes Schälchen zum Untertauchen gebracht ward. — πεφυσιγγωμένοι, der Zusammenhang verlangt die Bedeutung: aufgebracht, erbittert; inwiefern diese im Verbum liegen könne, steht dahin, während es gewiss ist, dass darin eine Anspielung auf den Knoblauchsbau in Megaris enthalten ist.

**31.** 1. πλὴν —, nur die Motive der unbestrittnen Thatsache werden verschieden angegeben. — μετὰ γνώμης mit voller Einsicht in die Lage der Dinge und die Folgen, die seine Weigerung haben konnte. — κατὰ τὸ βέλτιστον in der besten Absicht, d. h. in der Ansicht das

ἀπισχυρίσασθαί φασιν αὐτὸν, πεῖραν ἐνδόσεως τὸ πρόσταγμα καὶ τὴν συγχώρησιν ἐξομολόγησιν ἀσθενείας ἡγούμενον· οἱ δὲ μᾶλλον αὐθαδείᾳ τινὶ καὶ φιλονεικίᾳ πρὸς ἔνδειξιν ἰσχύος περιφρονῆσαι Λακεδαιμονίων. ἡ δὲ χειρίστη μὲν αἰτία πασῶν, ἔχουσα δὲ πλείστους μάρτυρας, οὕτω πως λέγεται. Φειδίας ὁ πλάστης ἐργολάβος μὲν ἦν τοῦ ἀγάλματος, ὥσπερ εἴρηται· φίλος δὲ τῷ Περικλεῖ γενόμενος καὶ μέγιστον παρ' αὐτῷ δυνηθεὶς τοὺς μὲν ὑπ' αὐτὸν ἔσχεν ἐχθροὺς φθονούμενος, οἱ δὲ τοῦ δήμου ποιούμενοι πεῖραν ἐν ἐκείνῳ, ποῖός τις ἔσοιτο Περικλεῖ κριτής, Μένωνά τινα τῶν Φειδίου συνεργῶν πείσαντες ἱκέτην ἐν ἀγορᾷ καθίζουσιν αἰτούμενον ἄδειαν ἐπὶ μηνύσει καὶ κα-
2 τηγορίᾳ τοῦ Φειδίου. προσδεξαμένου δὲ τοῦ δήμου τὸν ἄνθρωπον καὶ γενομένης ἐν ἐκκλησίᾳ διώξεως κλοπαὶ μὲν οὐκ ἠλέγχοντο· τὸ γὰρ χρυσίον οὕτως εὐθὺς ἐξ ἀρχῆς τῷ ἀγάλματι προσειργάσατο καὶ περιέθηκεν ὁ Φειδίας γνώμῃ τοῦ Περικλέους, ὥστε πᾶν δυνατὸν εἶναι περιελοῦσιν ἀποδεῖξαι τὸν σταθμὸν, ὃ καὶ τότε τοὺς κατηγόρους ἐκέλευσε

Beste des Staats zu fördern. — ἀπισχυρίζεσθαι entschieden zurückweisen. — πεῖραν ἐνδόσεως, Per. bei Thuc. 1, 140: τῆς μὲν γνώμης, ὦ Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχομαι, μὴ εἴκειν Πελοποννησίοις· — οἷς εἰ ξυγχωρήσετε, καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε, ὡς φόβῳ καὶ τοῦτο ὑπακούσαντες. — ἰσχύος seiner Macht. — εἴρηται 13, 6. — δι' αὐτόν, Phidias hatte manche persönliche Feinde, die seinen Ruhm beneideten, andere hassten in ihm nur den Per., seinen Freund und Gönner. — ἐν ἀγορᾷ, auf einem der Altäre. — ἄδειαν Schutz und Sicherstellung, häufig erbeten und gewährt bei wichtigen Geständnissen.

2. κλοπαί Unterschleif (κλ. δημοσίων χρημάτων) ward mit Ersatz und Zahlung des Doppelten gebüst, nach Befinden mit noch härterer Strafe belegt. — γνώμη τοῦ Περικλέους, Thuc. 2, 13: Περικλῆς ἀπέφαινεν ἔχον τὸ ἄγαλμα τεσσαράκοντα τάλαντα σταθμὸν χρυσίου ἀπέφθου, καὶ περιαιρετὸν εἶναι ἅπαν, χρησαμένους τε ἐπὶ σωτηρίᾳ ἔφη χρῆναι μὴ ἐλάσσω ἀντικαταστῆσαι: Andere geben die Summe noch höher an (40 und 50 Talente); den abnehmbaren Goldschmuck raubte Ol. 120, 2 der Tyrann Lachares. — ἡ δὲ δόξα —, wenn Phid. auch der Anklage glücklich entging, so lastete doch das Gewicht des Neides auf ihm. — Ἀμαζόνας, die Besiegung der in Attika eingedrungenen Amazonen durch Theseus war als eine der Grossthaten der ältern athen. Geschichte viel gefeiert. — αὐτοῦ μορφήν, Cic. Tuscul. 1, 15: *Phidias sui similem speciem inclusit in clypeo Minervae quum inscribere non liceret,* und zwar war

ποιεῖν ὁ Περικλῆς· ἡ δὲ δόξα τῶν ἔργων ἐπίεζε φθόνῳ τὸν Φειδίαν, καὶ μάλισθ' ὅτι τὴν πρὸς Ἀμαζόνας μάχην ἐν τῇ ἀσπίδι ποιῶν αὐτοῦ τινα μορφὴν ἐνετύπωσε πρεσβύτου φαλακροῦ πέτρον ἐπηρμένου δι' ἀμφοτέρων τῶν χειρῶν καὶ τοῦ Περικλέους εἰκόνα παγκάλην ἐνέθηκε μαχομένου πρὸς Ἀμαζόνα. τὸ δὲ σχῆμα τῆς χειρὸς ἀνατεινούσης δόρυ πρὸ 3 τῆς ὄψεως τοῦ Περικλέους πεποιημένον εὐμηχάνως οἷον πικρύπτειν βούλεται τὴν ὁμοιότητα παραφαινομένην ἑκατέρωθεν. ὁ μὲν οὖν Φειδίας εἰς τὸ δεσμωτήριον ἀπαχθεὶς τελεύτησε νοσήσας, ὡς δέ φασιν ἔνιοι, φαρμάκοις, ἐπὶ καταβολῇ τοῦ Περικλέους τῶν ἐχθρῶν παρασκευασάντων. ᾧ δὲ μηνυτῇ Μένωνι γράψαντος Γλύκωνος ἀτέλειαν ὁ δῆμος ἔδωκε καὶ προσέταξε τοῖς στρατηγοῖς ἐπιμελεῖσθαι τῆς ἀσφαλείας τοῦ ἀνθρώπου.

**32.** περὶ δὲ τοῦτον τὸν χρόνον Ἀσπασία δίκην ἔφευγεν ἀσεβείας Ἑρμίππου τοῦ κωμῳδοποιοῦ διώκοντος καὶ προσκατηγοροῦντος, ὡς Περικλεῖ γυναῖκας ἐλευθέρας εἰς αὐτὸ φοιτώσας ὑποδέχοιτο. καὶ ψήφισμα Διοπείθης

so künstlich angebracht, ὥστε ἀνάγκης εἴ τις βούλοιτο αὐτὸ ἀφαιρεῖν, τὸ σύμπαν ἄγαλμα συνδεῖν τε καὶ συγχεῖν, Aristotel. de mundo c. 6. — δι' ganz eigentlich, wir mit sagen.

Der Tod des Phidias fällt Ol. 1. — ἐπὶ διαβολῇ, als habe er ihn aus dem Wege geräumt einer Aussage zu entgehen. — ἀτέλεια (Immunität) Freiheit von Lungen, welche jeder Bürger solcher dem Staate schuldete; ward verdienten Bürgern öfter ertheilt. — στρατηγοῖς, wie die Strategen über die allgemeine Sicherheit des Landes zu wachen hatten, wurde ihnen in ausserordentlichen Fällen auch die persönliche Einzelner aufgetragen.

1. Die Klage ἀσεβείας umfasste alle Fälle von Verletzung der den Göttern schuldigen Ehrfurcht, natürlich sehr verschiedner Art sein konnten: auch das Hellenenthum kennt zahlreiche Ketzerprocesse (attisch. Proc. 304); worauf die Anklage der Aspasia sich gründete, ist unbekannt. — Hermippus von Athen, komischer Dichter, etwas älter als Aristophanes, dessen polit. Richtung er theilte. — ὡς — ὑποδέχοιτο Zusammenkünfte veranstalte: es war dies die Anklage der προαγωγεία (Kuppelei.) — Diopeithes scheint nach einigen Stellen der Komiker ein religiöser Fanatiker gewesen zu sein, also schon darum ein entschiedner Gegner der durch Anaxagoras angebahnten Aufklärung, wie die Mehrzahl der ächten alten Athener, von denen Plut. Nic. 23 sagt: οὐ γὰρ ἠνείχοντο τοὺς φυσικοὺς καὶ μετεωρολέσχας τότε καλουμένους, ὡς εἰς αἰτίας ἀλόγους καὶ δυνάμεις ἀπρονοήτους καὶ κατηναγκασμένα πάθη διατρίβοντας τὸ θεῖον —,

ἔγραψεν εἰσαγγέλλεσθαι τοὺς τὰ θεῖα μὴ νομίζοντας ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας, ἀπερειδόμενος εἰς
2 Περικλέα δι' Ἀναξαγόρου τὴν ὑπόνοιαν. δεχομένου δὲ τοῦ δήμου καὶ προσιεμένου τὰς διαβολὰς, οὕτως ἤδη ψήφισμα κυροῦται, Δρακοντίδου γράψαντος ὅπως οἱ λόγοι τῶν χρημάτων ὑπὸ Περικλέους εἰς τοὺς Πρυτάνεις ἀποτεθεῖεν, οἱ δὲ δικασταὶ τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ φέροντες ἐν τῇ πόλει κρίνοιεν. Ἄγνων δὲ τοῦτο μὲν ἀφεῖλε τοῦ ψηφίσματος, κρίνεσθαι δὲ τὴν δίκην ἔγραψεν ἐν δικασταῖς χιλίοις καὶ πεντακοσίοις εἴτε κλοπῆς καὶ δώρων εἴτ' ἀδικίου βούλοιτό
3 τις ὀνομάζειν τὴν δίωξιν. Ἀσπασίαν μὲν οὖν ἐξῃτήσατο πολλὰ πάνυ παρὰ τὴν δίκην, ὡς Αἰσχίνης φησὶν, ἀφεὶς ὑπὲρ αὐτῆς δάκρυα καὶ δεηθεὶς τῶν δικαστῶν· Ἀναξαγόραν δὲ φοβηθεὶς ἐξέπεμψεν ἐκ τῆς πόλεως. ὡς δὲ διὰ Φειδίου προσέπταισε τῷ δήμῳ φοβηθεὶς τὸ δικαστήριον μέλλοντα τὸν πόλεμον καὶ ὑποτυφόμενον ἐξέκαυσεν ἐλπίζων διασκεδάσειν τὰ ἐγκλήματα καὶ ταπεινώσειν τὸν φθό-

ὀψὲ δ' ἡ Πλάτωνος ἐκλάμψασα δόξα διὰ τὸν βίον τοῦ ἀνδρὸς καὶ ὅτι ταῖς θείαις καὶ κυριωτέραις ἀρχαῖς ὑπέταξε τὰς φυσικὰς ἀνάγκας ἀφεῖλε τὴν τῶν λόγων τούτων διαβολὴν καὶ τοῖς μαθήμασιν εἰς ἅπαντας ὁδὸν ἐνέδωκεν. — εἰσαγγέλλεσθαι hier nicht von einfacher Denunciation = μηνύειν, sondern im engern Sinn von dem Rechtsverfahren der εἰσαγγελία gegen schwerere unter ausserordentlichen Umständen verübte Verbrechen, oder solche, bei denen der Staat betheiligt war. Sie ward entweder beim Volke oder beim Senat angestellt. — μεταρσίων z. 5, 1. — ἀπερειδόμενος τὴν ὑπόνοιαν den Argwohn hinrichtend.

2. οὕτως ἤδη markirt den angegebnen Zeitpunkt als erwarteten und sofort (ἤδη) benutzten. — Δρακοντίδου, Aristoph. vesp. 157: πονηρὸς οὗτος καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, wahrscheinlich derselbe, der als Feind der Demokratie und späteres Mitglied der 3ᵗᵉ öfter genannt wird. — Πρυτάνεις, Rechenschaft ward nach Verlauf der Amtszeit von den Beamten bei einer besondern Behörde, den Logisten u. Euthynen, abgelegt; hier handelte es sich um ein ausserordentliches Verfahren, das, wenn nicht beim Volke, bei den Prytanen des Raths der 500 anzubringen war, in dessen Geschäftskreis als der Finanzbehörde der Fall gehörte. Als ausserordentliche Massregel ist auch der Antrag ἀπὸ τοῦ βωμοῦ φέροντες zu betrachten, s. z. Them. 17, 1. Gemeint ist der Altar der Athene. — πόλει = ἀκροπόλει bei den besten Schriftstellern nicht selten, Thuc. 2, 15: καλεῖται — ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' Ἀθηναίων πόλις. — χιλίοις καὶ πεντακοσίοις, in ausserordentlichen Fällen ward die Zahl der Richter durch den Beschluss der Volksversammlung bestimmt. — κλοπῆς z. 31, 2. — δώρων der Bestechung

νον ἐν πράγμασι μεγάλοις καὶ κινδύνοις τῆς πόλεως ἐκείνῳ μόνῳ διὰ τὸ ἀξίωμα καὶ τὴν δύναμιν ἀναθείσης ἑαυτήν. αἱ μὲν οὖν αἰτίαι, δι' ἃς οὐκ εἴασεν ἐνδοῦναι Λακεδαιμονίοις τὸν δῆμον, αὗται λέγονται, τὸ δ' ἀληθὲς ἄδηλον.

**33.** οἱ δὲ Λακεδαιμόνιοι γινώσκοντες, ὡς ἐκείνου καλυθέντος εἰς πάντα μαλακωτέροις χρήσονται τοῖς Ἀθηναίοις, ἐκέλευον αὐτοὺς τὸ ἄγος ἐλαύνειν, ᾧ τὸ μητρόθεν ἔνος τοῦ Περικλέους ἔνοχον ἦν, ὡς Θουκυδίδης εἴρηκεν. ἡ δὲ πεῖρα περιέστη τοῖς πέμψασιν εἰς τοὐναντίον· ἀντὶ γὰρ ποψίας καὶ διαβολῆς ὁ Περικλῆς ἔτι μείζονα πίστιν ἔσχε κὶ τιμὴν παρὰ τοῖς πολίταις, ὡς μάλιστα μισούντων καὶ οβουμένων ἐκεῖνον τῶν πολεμίων. διὸ καὶ πρὶν ἐμβαλεῖν 2 ς τὴν Ἀττικὴν τὸν Ἀρχίδαμον ἔχοντα τοὺς Πελοποννηους προεῖπε τοῖς Ἀθηναίοις, ἂν ἄρα τἆλλα δηῶν ὁ Ἀρδαμος ἀπέχηται τῶν ἐκείνου διὰ τὴν ξενίαν τὴν οὖσαν τοῖς ἢ διαβολῆς τοῖς ἐχθροῖς ἐνδιδοὺς ἀφορμὰς, ὅτι τῇ

*ἀδικίου*, oder überhaupt (ganz gemein) der Gefährdung des atsvermögens.

. *παρὰ τὴν δίκην* während der handlung. — Ueber die Anklage angebliche Verbannung des xagoras gab es wie über sein lesjahr schon im Alterthum abchende Berichte; während hier den Gang des Processes nichts er gesagt wird, erwähnt Plut. 23 seiner Gefangensetzung, zu her die Art seiner Anklage, *εἰσαγγελία*, sofort berechtigte. *ποτυφόμενον*, so *bellum glins* Liv. 2, 19. Uebrigens erin- Bild u. Ausdruck an Aristoph. 606: (Perikles) *ξέφλεξε τὴν ν, ἐμβαλὼν σπινθῆρα μικρὸν αρικοῦ ψηφίσματος, κἄξεφύν τοσοῦτον πόλεμον, ὥστε απνῷ πάντας Ἕλληνας δαι —. ἐκείνῳ*, zwar aus der tellung des Perikles (= *ἐαν*- aber vom Standpunkt des ftstellers wie 33, 2. — *ἀναθείσης* wenn sie anvertraut hätte.

**33.** 1. *εἰς πάντα μαλακωτέροις χρῆσθαι* in allen Stücken nachgiebiger haben. — *τὸ ἄγος* = *τοὺς ἐναγεῖς*, die Nachkommen derer, die durch den Mord der Anhänger des Cylon den Tempel der Athene entweihet hatten, der Alkmäoniden, zu welchen Per. durch seine Mutter gehörte, s. Thuc. 1, 126, der über die Beweggründe der Spartaner hinzusetzt: *τοῦτο δὴ τὸ ἄγος οἱ Λακεδαιμόνιοι ἐλαύνειν ἐκέλευον δῆθεν τοῖς θεοῖς πρῶτον τιμωροῦντες, εἰδότες δὲ Περικλέα προσεχόμενον αὐτῷ κατὰ τὴν μητέρα καὶ νομίζοντες ἐκπεσόντος αὐτοῦ ῥᾷον σφίσι προχωρεῖν τὰ ἀπὸ τῶν Ἀθηναίων. οὐ μέντοι τοσοῦτον ἤλπιζον παθεῖν ἂν αὐτὸν τοῦτο, ὅσον διαβολὴν ὄψεσθαι αὐτῷ πρὸς τὴν πόλιν, ὡς καὶ διὰ τὴν ἐκείνου συμφορὰν τὸ μέρος ἔσται ὁ πόλεμος.* — *ἐκέλευον*, durch Gesandte. — *περιέστη* schlug um, hatte die entgegengesetzte Folge.

πόλει καὶ τὴν χώραν καὶ τὰς ἐπαύλεις ἐπιδίδωσιν. ἐμβάλλουσιν οὖν εἰς τὴν Ἀττικὴν στρατῷ μεγάλῳ Λακεδαιμόνιοι μετὰ τῶν συμμάχων Ἀρχιδάμου τοῦ βασιλέως ἡγουμένου. καὶ δηοῦντες τὴν χώραν προῆλθον εἰς Ἀχαρνὰς καὶ κατεστρατοπέδευσαν, ὡς τῶν Ἀθηναίων οὐκ ἀνεξομένων, ἀλλ' ὑπ' ὀργῆς καὶ φρονήματος διαμαχουμένων πρὸς αὐτούς. τῷ δὲ Περικλεῖ δεινὸν ἐφαίνετο πρὸς τοὺς ἑξακισμυρίους Πελοποννησίων καὶ Βοιωτῶν ὁπλίτας (τοσοῦτοι γὰρ ἦσαν οἱ τὸ πρῶτον ἐμβαλόντες) ὑπὲρ αὐτῆς τῆς πόλεως μάχην συνάψαι· τοὺς δὲ βουλομένους μάχεσθαι καὶ δυσπαθοῦντας πρὸς τὰ γινόμενα κατεπράϋνε λέγων, ὡς δένδρα μὲν τμηθέντα καὶ κοπέντα φύεται ταχέως, ἀνδρῶν δὲ διαφθαρέν-
3 των αὖθις τυχεῖν οὐ ῥᾴδιόν ἐστι. τὸν δὲ δῆμον εἰς ἐκλησίαν οὐ συνῆγε δεδιὼς βιασθῆναι παρὰ γνώμην, ἀλλ' ὥσπερ νεὼς κυβερνήτης ἀνέμου κατιόντος ἐν πελάγει θέμενος εὐ πάντα καὶ κατατείνας τὰ ὅπλα χρῆται τῇ τέχνῃ δάκρυα καὶ δεήσεις ἐπιβατῶν ναυτιώντων καὶ φοβουμένων ἐάσας, οὕτως ἐκεῖνος τό τε ἄστυ συγκλείσας καὶ καταλαβὼν πάντα

2. Genau so erzählt die Handlungsweise des Per. Thuc. 2, 13. — ἐπιδιδόναι stehend von freiwilligen Gaben u. Beisteuern zu Staatszwecken, oft von solchen gewährt, die nach Popularität strebten. — Ἀχαρναί, Flecken in Attika, nur 60 Stadien von Athen. Ueber die Absicht des Archidamus Thuc. 2, 20: τοὺς γὰρ Ἀθηναίους ἤλπιζεν ἀκμάζοντάς τε νεότητι πολλῇ καὶ παρεσκευασμένους ἐς πόλεμον ὡς οὔπω πρότερον ἴσως ἂν ἐπεξελθεῖν καὶ τὴν γῆν οὐκ ἂν περιϊδεῖν τμηθῆναι. — ἑξακισμυρίους, eine Zahl nennt Thuc. nicht, lässt aber den Archid. 2, 11 sagen: τῇδε οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν. — ὑπὲρ — συνάψαι d. h. das Schicksal der Stadt in einer Schlacht aufs Spiel setzen. — τὰ γινόμενα die Verwüstung des Landes. — δένδρα Fruchtbäume; dieser Gedanke steht nicht in der Stelle des Thuc. 1, 143 die Plut. hier im Sinne gehabt zu haben scheint: χρὴ — τὴν ὀλόφυρσιν αὐτῶν οἰκιῶν καὶ γῆς ποιεῖσθαι, ἀλλὰ τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ' οἱ ἄνδρες ταῦτα κτῶνται.

3. εἰς ἐκκλησίαν —, Thuc. 2, 22 ἐκκλησίαν τε οὐκ ἐποίει αὐτῶν οὐδὲ ξύλλογον οὐδένα, τοῦ μὴ ὀργῇ μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἐξαμαρτεῖν; τήν τε πόλιν ἐφύλασσε καὶ δι' ἡσυχίας μάλιστα, ὅσα ἐδύνατο, εἶχεν. — κατιέναι stehend vom Wehen der Winde, liegend auf der Vorstellung, dass die Winde sich vom Himmel (Il. 146 Εὖρός τε Νότος τε ὄρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων oder den höchsten Bergen herabstürzen, Kamill. 34: πνεύματος μεγάλου κατιόντος ἀπὸ τῶν ὀρέων — κατατείνειν τὰ ὅπλα Segel

φυλακαῖς πρὸς ἀσφάλειαν ἐχρῆτο τοῖς αὐτοῦ λογισμοῖς βραχέα φροντίζων τῶν καταβοώντων καὶ δυσχεραινόντων. καίτοι πολλοὶ μὲν αὐτοῦ τῶν φίλων δεόμενοι προσέκειντο, πολλοὶ δὲ τῶν ἐχθρῶν ἀπειλοῦντες καὶ κατηγοροῦντες, πολλοὶ δ' ἤδον ᾄσματα καὶ σκώμματα πρὸς αἰσχύνην ἐφυβρίζοντες αὐτοῦ τὴν στρατηγίαν ὡς ἄνανδρον καὶ προϊεμένην τὰ πράγματα τοῖς πολεμίοις. ἐπεφύετο δὲ καὶ Κλέων 4
ἤδη διὰ τῆς πρὸς ἐκεῖνον ὀργῆς τῶν πολιτῶν πορευόμενος ἐπὶ τὴν δημαγωγίαν, ὡς τἀνάπαιστα ταῦτα δηλοποιεῖ τὰ Ἑρμίππου·

βασιλεῦ σατύρων, τί ποτ' οὐκ ἐθέλεις
δόρυ βασταζειν, ἀλλὰ λόγους μὲν
περὶ τοῦ πολέμου δεινοὺς παρέχῃ,
ψυχὴν δὲ Τελῆτος ὑπέστης;
κἀγχειριδίου δ' ἀκόνῃ σκληρᾷ
παραθηγομένης βρύχεις κοπίδος,
δηχθεὶς αἴθωνι Κλέωνι.

**34.** πλὴν ὑπ' οὐδενὸς ἐκινήθη τῶν τοιούτων ὁ Περι-

'aue einziehen (Jacobs). — *βραέα*, gewöhnlicher *ὀλίγον*. — *αὐτοῦ* mit *δεόμενοι* zu verbinden: unser Sprachgebrauch liess die Beziehung auf *προσέκειντο* (*αὐτῷ*) erwarten. — *τὰ πράγματα* den Staat.

4. *ἐπεφύετο*, mit dem Nebenbegriff feindseliger Gesinnung (Jacobs). — *διὰ — πορευόμενος* d. h. er sich den Weg zu seinem späteren Einfluss durch die Erbitterung der Bürger gegen Per. bahnte. — Die Schwierigkeiten für die Kritik und Erklärung der Verse des Hermippus, welche Meineke aus dem Lücke *Μοῖραι* entlehnt glaubt, in welchem Herm. besonders auf energische Kriegsführung gegen die Lakedämonier gedrungen habe, sind noch nicht genügend gelöst. Die Anrede *σ. σατ.* ist dunkel: stand sie mit der c. 32 erwähnten Anklage der Aspasia *ὡς — ὑποδέχοιτο* in Verbindung, so wird man sie als Vorwurf der Ueppigkeit u. Ausschweifung in der Liebe fassen dürfen. — *ψυχὴν Τελῆτος ὑπέστης* unterstandest, bewiesest durch die That ein Hasenherz, wenn nicht mit Emperius *ψυχὴ δὲ Τ. ὕπεστιν* zu schreiben ist; auf die Annahme, dass in *Τελῆς* eine Memme verspottet werde, führt der Gegensatz nothwendig; auch nennt Suidas einen von den Komikern *ἐπὶ δειλίᾳ* verspotteten *Τελέας* (= *Τελῆς*, wie *Θαλῆς* aus *Θαλέας*). — *καὶ — δὲ* scheinen eine Steigerung einzuführen, ja — nur, nach Coraes in diesem Sinn: ja, wenn nur die kleinste Waffe auf dem Wetzstein geschliffen wird, klapperst du mit den Zähnen, gepackt vom feurigen (zum Kriege drängenden) Kleon: indessen ist diese Auffassung auch aus krit. Gründen sehr problematisch. — *αἴθωνι Κλέωνι* scheint ko-

κλῆς, ἀλλὰ πράως καὶ σιωπῇ τὴν ἀδοξίαν καὶ τὴν ἀπέχθειαν ὑφιστάμενος καὶ νεῶν ἑκατὸν ἐπὶ τὴν Πελοπόννησον στόλον ἐκπέμπων αὐτὸς οὐ συνεξέπλευσεν, ἀλλ᾽ ἔμεινεν οἰκουρῶν καὶ διὰ χειρὸς ἔχων τὴν πόλιν ἕως ἀπηλλάγησαν οἱ Πελοποννήσιοι. θεραπεύων δὲ τοὺς πολλοὺς ὅμως ἀσχάλλοντας ἐπὶ τῷ πολέμῳ διανομαῖς τε χρημάτων ἀνελάμβανε καὶ κληρουχίας ἀνέγραφεν· Αἰγινήτας γὰρ ἐξελάσας ἅπαντας διένειμε τὴν νῆσον Ἀθηναίων τοῖς λαχοῦσιν. ἦν δέ τις 2 παρηγορία καὶ ἀφ᾽ ὧν ἔπασχον οἱ πολέμιοι. καὶ γὰρ οἱ περιπλέοντες τὴν Πελοπόννησον χώραν τε πολλὴν κώμας τε καὶ πόλεις μικρὰς διεπόρθησαν καὶ κατὰ γῆν αὐτὸς ἐμβαλὼν εἰς τὴν Μεγαρικὴν ἔφθειρε πᾶσαν. ᾗ καὶ δῆλον ἦν, ὅτι πολλὰ μὲν δρῶντες κακὰ τοὺς Ἀθηναίους, πολλὰ δὲ πάσχοντες ὑπ᾽ ἐκείνων ἐκ θαλάττης οὐκ ἂν εἰς μῆκος πολέμου τοσοῦτον προὔβησαν, ἀλλὰ ταχέως ἀπεῖπον, ὥσπερ ἐξ ἀρχῆς ὁ Περικλῆς προηγόρευσεν, εἰ μή τι δαιμόνιον ὑπηναντιώθη τοῖς ἀνθρωπίνοις λογισμοῖς. νῦν δὲ πρῶτον μὲν ἡ λοιμώδης ἐνέπεσε φθορὰ καὶ κατενεμήθη τὴν ἀκμάζουσαν ἡλικίαν καὶ δύναμιν· ὑφ᾽ ἧς καὶ τὰ σώματα κακούμενοι καὶ τὰς ψυχὰς παντάπασιν ἠγριώθησαν

mische Parodie des homerischen *αἴθων λέων*.

**34.** 1. *ἐπὶ* gegen die Pelop., in feindlicher Absicht, um an geeigneten Küstenpunkten zu landen. — *οἰκουρῶν* z. 11, 1. — *διὰ χειρὸς* (nicht *χειρῶν*) *ἔχειν* handhaben, in Obhut halten. — *θεραπεύων τοὺς πολλούς* sich dem Volke gefällig beweisen wollend. — *ὅμως* dennoch, obgleich er übrigens ihrem Kriegseifer entgegen trat, oder zum Folgenden bezogen: die dennoch, obgleich die Feinde abgezogen waren, murrten. — *ἀνελάμβανε* z. 9, 2. — *κληρουχίας* z. 9, 1. — *Αἰγινήτας*, Thuc. 2, 27: *ἀνέστησαν δὲ καὶ Αἰγινήτας ἐξ Αἰγίνης Ἀθηναῖοι, αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι* (z. 29, 2)· *καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἐφαίνετο τῇ Πελοποννήσῳ ἐπικειμένην αὐτῶν πέμψαντας ἐποίκους ἔχειν.*

2. *καὶ* vor *γὰρ* entspricht den *καὶ* vor *κατὰ*. — *ἀπεῖπον* versagt haben, d. h. müde geworden sein würden. — *προηγόρευσεν* seine Rede bei Thuc. 1, 140 ff. — *νῦν δὲ* so aber, den wahren Sachverhalt der nicht verwirklichten Voraussetzung entgegenstellend. — *λοιμώδης φθορά*, die von Thuc. 2, 47 ff. beschriebne Pest. — *ἐνέπεσε*, der eigentliche Ausdruck von Krankheiten, mit Rücksicht auf die davon Befallenen (*pestilentia incidit in urbem*, Liv. 27, 23); wir intransitiv, brach aus. — *κατενεμήθη*, Virgil Georg. 3, 458: *quum furit atque artus depa-*

πρὸς τὸν Περικλέα καὶ καθάπερ ἰατρὸν ἢ πατέρα τῇ νόσῳ παραφρονήσαντες ἀδικεῖν ἐπεχείρησαν ἀναπεισθέντες ὑπὸ τῶν ἐχθρῶν, ὡς τὴν μὲν νόσον ἡ τοῦ χωριτικοῦ πλήθους εἰς τὸ ἄστυ συμφόρησις ἐργάζεται, θέρους ὥρᾳ πολλῶν ὁμοῦ χύδην ἐν οἰκήμασι μικροῖς καὶ σκηνώμασι πνιγηροῖς ἠναγκασμένων διαιτᾶσθαι δίαιταν οἰκουρὸν καὶ ἀργὴν ἀντὶ καθαρᾶς καὶ ἀναπεπταμένης τῆς πρότερον, τούτου δ' αἴτιος ὁ τῷ πολέμῳ τὸν ἀπὸ τῆς χώρας ὄχλον εἰς τὰ τείχη καταχεάμενος καὶ πρὸς οὐδὲν ἀνθρώποις τοσούτοις χρώμενος, ἀλλ' ἐῶν ὥσπερ βοσκήματα καθειργμένους ἀναπίμπλασθαι φθορᾶς ἀπ' ἀλλήλων καὶ μηδεμίαν μεταβολὴν μηδ' ἀναψυχὴν ἐκπορίζων.

**35.** ταῦτα βουλόμενος ἰᾶσθαι καί τι παραλυπεῖν τοὺς πολεμίους ἑκατὸν καὶ πεντήκοντα ναῦς ἐπλήρου καὶ πολλοὺς καὶ ἀγαθοὺς ὁπλίτας καὶ ἱππέας ἀναβιβασάμενος ἔμελλεν ἀνάγεσθαι μεγάλην ἐλπίδα τοῖς πολίταις καὶ φόβον οὐκ ἔλαττον τοῖς πολεμίοις ἀπὸ τοσαύτης ἰσχύος παρασχών. ἤδη δὲ πεπληρωμένων τῶν νεῶν καὶ τοῦ Περικλέους ἀναβεβηκότος ἐπὶ τὴν ἑαυτοῦ τριήρη τὸν μὲν ἥλιον ἐκλιπεῖν συνέβη καὶ γενέσθαι σκότος, ἐκπλαγῆναι δὲ πάν-

citur arida febris. — καθάπερ ατρόν — der Gedanke ist nicht ollständig ausgeführt statt: wie iranke dem Arzt oder Kinder em Vater. — συμφορά Zusammendrängung, vgl. Nic. 6: τοῦ δὲ οιμοῦ τὴν πλείστην αἰτίαν ἔλαβε Περικλῆς διὰ τὸν πόλεμον εἰς τὸ στυ κατακλείσας τὸν ἀπὸ τῆς ώρας ὄχλον ἐκ τῆς μεταβολῆς ῶν τόπων καὶ διαίτης ἀήθους ενομένου. Thuc. 2, 52: οἰκιῶν ὲ οὐχ ὑπαρχουρῶν, ἀλλ' ἐν καβαις πνιγηραῖς ὥρᾳ ἔτους διαυμένων ὁ φθόρος ἐγίγνετο οὐνὶ κόσμῳ, ἀλλὰ καὶ νεκροὶ ἐπ' λήλοις ἀποθνήσκοντες ἔκειντο ὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο. — θαρὰ δίαιτα Lebensweise in ier, gesunder Luft. — ἀναπίμεσθαι angesteckt werden.

**35.** 1. παραλυπεῖν beiläufig (empfindlichen) Schaden zufügen. πεντήκοντα, diese waren von Chios gestellt, Thuc. 2, 56. — ὁπλίτας καὶ ἱππέας, Thuc. a. a. O.: ἦγε δὲ ἐπὶ τῶν νεῶν ὁπλίτας Ἀθηναίων τετρακισχιλίους καὶ ἱππέας τριακοσίους ἐν ναυσὶν ἱππαγωγοῖς πρῶτον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις. — ἔλαττον, adverbial, nicht in Beziehung auf φόβον, Aemil. Paul. 29: γενέσθαι τὴν δόσιν οὐ μεῖζον ἕνδεκα δραχμῶν. — nicht bei dieser Gelegenheit fand die Sonnenfinsterniss Statt, sondern ein Jahr früher Ol. 87, 2 den 3. August 431, s. Thuc. 2, 28. Mit mancherlei Variationen erzählen das Geschichtchen auch andere spätere Schriftsteller; ist etwas Wahres daran, so verdankte

τας ὡς πρὸς μέγα σημεῖον. ὁρῶν οὖν ὁ Περικλῆς περίφοβον τὸν κυβερνήτην καὶ διηπορημένον ἀνέσχε τὴν χλαμύδα πρὸ τῆς ὄψεως αὐτοῦ καὶ παρακαλύψας ἠρώτησε, μή τι δεινὸν ᾖ δεινοῦ τινος οἴεται σημεῖον· ὡς δ' οὐκ ἔφη „τί οὖν“ εἶπεν „ἐκεῖνο τούτου διαφέρει, πλὴν ὅτι μεῖζόν τι τῆς χλαμύδος ἐστὶ τὸ πεποιηκὸς τὴν ἐπισκότησιν;“ ταῦτα
2 μὲν οὖν ἐν ταῖς σχολαῖς λέγεται τῶν φιλοσόφων. ἐκπλεύσας δ' οὖν ὁ Περικλῆς οὔτ' ἄλλο τι δοκεῖ τῆς παρασκευῆς ἄξιον δρᾶσαι πολιορκήσας τε τὴν ἱερὰν Ἐπίδαυρον ἐλπίδα παρασχοῦσαν ὡς ἁλωσομένην ἀπέτυχε διὰ τὴν νόσον. ἐπιγενομένη γὰρ οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ὁπωσοῦν τῇ στρατιᾷ συμμίξαντας προσδιέφθειρεν. ἐκ τούτου καλέπως διακειμένους τοὺς Ἀθηναίους πρὸς αὐτὸν ἐπειρᾶτο
3 παρηγορεῖν καὶ ἀναθαρρύνειν. οὐ μὴν παρέλυσε τὴν ὀργὴν οὐδὲ μετέπεισε πρότερον ἢ τὰς ψήφους λαβόντας ἐπ' αὐτὸν εἰς τὰς χεῖρας καὶ γενομένους κυρίους ἀφελέσθαι τὴν στρατηγίαν καὶ ζημιῶσαι χρήμασιν, ὧν ἀριθμὸν οἱ τὸν ἐλάχιστον πεντεκαίδεκα τάλαντα, πεντήκοντα δ' οἱ τὸν πλεῖστον γράφουσιν. ἐπεγράφη δὲ τῇ δίκῃ κατήγορος, ὡς μὲν Ἰδομενεὺς λέγει, Κλέων, ὡς δὲ

Per. seine Kenntniss ohne Zweifel dem Anaxagoras. — μή τι doch nicht, setzt Verneinung voraus. — σχολαί Vorträge, Unterhaltungen der Philosophen mit ihren Schülern; auch die Orte, wo sie gehalten wurden.

2. δ' οὖν z. 27, 1. — τε ἀπέτυχε = οὔτ' ἔτυχε. — Ἐπίδαυρον, Thuc. 2, 56: ἀφικόμενοι ἐς Ἐπίδαυρον τῆς Πελοποννήσου ἕτεμον τῆς γῆς τὴν πολλήν, καὶ πρὸς τὴν πόλιν προσβαλόντες ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέντοι προσεχώρησέ γε. — ἱεράν, Pausan. 2, 26, 3: Ἀσκληπιοῦ ἱερὰν μάλιστα εἶναι τὴν γῆν συμβέβηκε. — ὡς ἁλωσομένην wie eine Stadt, die erobert werden würde, d. h. als ob —. ἐπιγενομένη —, doch behauptet Thuc. 2, 54: ἐς μὲν Πελοπόννησον οὐκ εἰσῆλθεν ὅτι ἄξιον καὶ εἰπεῖν. — χαλεπῶς διακειμένους, Thuc. 2, 58: τὸν Περικλέα ἐν αἰτίᾳ εἶχον ὡς πείσαντος σφᾶς πολεμεῖν καὶ δι' ἐκεῖνον τὰ ξυμφοραῖς περιπεπτωκότες: auch das Folgende erinnert selbst in den einzelnen Ausdrücken an Thuc. 2, 65, z. B. οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν πρὶν ἐζημίωσάν χρήμασιν.

3. τὰς ψήφους, nach Schömann (de comitiis S. 330) ein Irrthum Plutarchs; denn nicht durch Abstimmung vermittelst ψῆφοι, sondern durch die χειροτονία seien Beamte abgesetzt worden (ἀποχειροτονεῖν). — γενομένους κυρίους die Verurtheilung durchgesetzt hatten. — πεντήκοντα, doch giebt Diodor

Θεόφραστος, Σιμμίας· ὁ δὲ Ποντικὸς Ἡρακλείδης Λακρατίδαν εἰρηκε.

**36.** τὰ μὲν οὖν δημόσια ταχέως ἔμελλε παύεσθαι καθάπερ κέντρον εἰς τοῦτον ἅμα πληγῇ τὸν θυμὸν ἀφεικότων τῶν πολλῶν· τὰ δ' οἰκεῖα μοχθηρῶς εἶχεν αὐτῷ κατά τε τὸν λοιμὸν οὐκ ὀλίγους ἀποβαλόντι τῶν ἐπιτηδείων καὶ στάσει διατεταραγμένῳ πόρρωθεν. ὁ γὰρ πρεσβύτατος αὐτοῦ τῶν γνησίων υἱῶν Ξάνθιππος φύσει τε δαπανηρὸς ὢν καὶ γυναικὶ νέᾳ καὶ πολυτελεῖ συνοικῶν, Τισάνδρου θυγατρὶ, τοῦ Ἐπιλύκου, χαλεπῶς ἔφερε τὴν τοῦ πατρὸς ἀκρίβειαν γλίσχρα καὶ κατὰ μικρὸν αὐτῷ χορηγοῦντος. πέμψας 2
οὖν πρός τινα τῶν φίλων ἔλαβεν ἀργύριον ὡς τοῦ Περικλέους κελεύσαντος. ἐκείνου δ' ὕστερον ἀπαιτοῦντος, ὁ μὲν Περικλῆς καὶ δίκην αὐτῷ προσέλαχε, τὸ δὲ μειράκιον ὁ Ξάνθιππος ἐπὶ τούτῳ χαλεπῶς διατεθεὶς ἐλοιδόρει τὸν πατέρα, πρῶτον μὲν ἐκφέρων ἐπὶ γέλωτι τὰς οἰκοι διατριβὰς αὐτοῦ καὶ τοὺς λόγους, οὓς ἐποίει μετὰ τῶν σοφιστῶν. πεντάθλου γάρ τινος ἀκοντίῳ πατάξαντος Ἐπίτιμον τὸν Φαρσάλιον ἀκουσίως καὶ κατακτείναντος ἡμέραν ὅλην ἀναλῶσαι μετὰ Πρωταγόρου διαποροῦντα, πότερον τὸ ἀκόν-

12, 45 noch mehr, 80 Talente, an. — ἐπεγράψη, als δικασόμενος, die Klage anbringender Kläger. — Simonias wird als Gegner und Neider des Perikles auch mor. 805 c genannt.

**36.** 1. τὰ δημόσια das Missgeschick, die Kränkung, die ihn vom Staate traf. — ταχέως, Thuc. 2, 2: ὕστερον δ' αὖθις οὐ πολλῷ, περ φιλεῖ ὅμιλος ποιεῖν, στρατηὸν εἵλοντο καὶ πάντα τὰ πράγατα ἐπέτρεψαν. — καθάπερ —, gentlich vollständig: wie die iene mit dem Stich den Stachel, ıb das Volk mit dem Streich gegen er. den Zorn gegen ihn auf. — τάσει durch innere Zwietracht. — όρρωθεν seit langer Zeit her. — ισάνδρου, der Zusammenhang zeigt, dass an eine angesehene Familie zu denken ist.

2. ἔλαβεν nahm auf, borgte. — ἀπαιτοῦντος, vom Perikles. — καὶ — προσέλαχε zahlte nicht nur nicht, sondern — sogar. — ὁ Ξάνθιππος, epexegetische Apposition. — ἐπὶ τούτῳ mit ἐλοιδόρει zu verbinden. — πρῶτον μέν, der Gegensatz folgt in πρὸς δὲ τούτοις. — ἐκφέρειν unter die Leute bringen, so *efferre*, *efferre foras* bei Cicero. — Die Kampfarten des Fünfkampfes nennt der Vers des Simonides: ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην. — Protagoras von Abdera, von 480 bis gegen 410, der σοφώτατος σοφιστῶν, ist bekannt als Leugner jeder objektiv sichern Erkenntniss; die Erörterung scurriler Fragen dieser Art

τιον ἢ τὸν βαλόντα ἢ τοὺς ἀγωνοθέτας κατὰ τὸν ὀρθότατον
3 λόγον αἰτίους χρὴ τοῦ πάθους ἡγεῖσθαι. πρὸς δὲ τούτοις καὶ τὴν περὶ τῆς γυναικὸς διαβολὴν ὑπὸ τοῦ Ξανθίππου φησὶν ὁ Στησίμβροτος εἰς τοὺς πολλοὺς διασπαρῆναι καὶ ὅλως ἀνήκεστον ἄχρι τῆς τελευτῆς τῷ νεανίσκῳ πρὸς τὸν πατέρα παραμεῖναι τὴν διαφοράν· ἀπέθανε γὰρ ὁ Ξάνθιππος ἐν τῷ λοιμῷ νοσήσας. ἀπέβαλε δὲ καὶ τὴν ἀδελφὴν ὁ Περικλῆς τότε καὶ τῶν κηδεστῶν καὶ φίλων τοὺς πλείστους καὶ χρησιμωτάτους πρὸς τὴν πολιτείαν. οὐ μὴν ἀπεῖπεν οὐδὲ προὔδωκε τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς ὑπὸ τῶν συμφορῶν, ἀλλ' οὐδὲ κλαίων οὐδὲ κηδεύων οὐδὲ πρὸς τάφῳ τινὸς ὤφθη τῶν ἀναγκαίων, πρίν γε δὴ καὶ τὸν περίλοιπον αὐτοῦ τῶν γνησίων ἀποβαλεῖν Πάραλον. ἐπὶ τούτῳ δὲ καμφθεὶς ἐπειρᾶτο μὲν ἐγκαρτερεῖν τῷ ἤθει καὶ διαφυλάττειν τὸ μεγαλόψυχον, ἐπιφέρων δὲ τῷ νεκρῷ στέφανον ἡττήθη τοῦ πάθους πρὸς τὴν ὄψιν, ὥστε κλαυθμόν τε ῥῆξαι καὶ πλῆθος ἐκχέαι δακρύων, οὐδέποτε τοιοῦτον οὐδὲν ἐν τῷ λοιπῷ βίῳ πεποιηκώς.

**37.** τῆς δὲ πόλεως πειρωμένης τῶν ἄλλων στρατηγῶν εἰς τὸν πόλεμον καὶ ῥητόρων, ὡς δ' οὐδεὶς βάρος ἔχων ἰσόρροπον οὐδ' ἀξίωμα πρὸς τοσαύτην ἐχέγγυον ἡγεμονίαν ἐφαίνετο, ποθούσης ἐκεῖνον καὶ καλούσης ἐπὶ τὸ βῆμα

diente den Sophisten zur Darlegung ihrer eristischen Disputirkunst.

3. *περὶ τῆς γυναικός* s. 13, 7. — *ἀπεῖπεν* vgl. 34, 2. — *προὔδωκε τὸ φρόνημα*, von gebrochner Seelenstärke auch Kleom. 38, 1. — Paralus und Xanthus starben innerhalb weniger Tage. — *καμφθείς*, im Widerspruch mit dieser Behauptung erzählt Plut. mor. 118d, dass selbst dieser Unglücksfall den Per. nicht gebeugt habe, und so auch Valer. Max. 5, 10, 1. — *ῥῆξαι* ausbrechen in — Sophokl. Trach. 915: *δακρύων ῥήξασα θερμὰ νάματα*. Virg. Aeneid. 4, 553: *tantos illa suo rumpebat pectore questus.*

**37.** 1. *ῥήτορες*, wie der Gegensatz zeigt *οἱ τὰ ἐν τῇ πόλει πράττοντες* vgl. z. 7, 3. — *ἰσόρροπον*. das Bild ist von Wagschalen entlehnt, in deren einer das Gewicht der *ἡγεμονία*, der Staatsleitung, in der andern das des zum *ἡγεμών* sich aufwerfenden Individuums gedacht ist. — *στρατήγιον* Zusammenkunftsort der 10 ordentlichen *στρατηγοί*. — *ἀγνωμοσύνη* das Vergessen u. Verkennen gebührender Rücksichten, Undank. — *στρατηγός*, und zwar ausserordentlich mit unbeschränkter Machtvollkommenheit. — *ἐκλίποι*, sonst gewöhnlich intransitiv, Lyk. 31: *οὐ τελευτήσαντος ἀτέκνου τὸ γένος ἐξέλι-*

καὶ τὸ στρατήγιον, ἀθυμῶν καὶ κείμενος οἴκοι διὰ τὸ πένθος ὑπ᾽ Ἀλκιβιάδου καὶ τῶν ἄλλων ἐπείσθη φίλων προελθεῖν. ἀπολογησαμένου δὲ τοῦ δήμου τὴν ἀγνωμοσύνην πρὸς αὐτὸν ὑποδεξάμενος αὖθις τὰ πράγματα καὶ στρατηγὸς αἱρεθεὶς ᾐτήσατο λυθῆναι τὸν περὶ τῶν νόθων νόμον, ὃν αὐτὸς εἰσενηνόχει πρότερον, ὡς μὴ παντάπασιν ἐρημίᾳ διαδοχῆς τὸν οἶκον ἐκλίποι τοὔνομα καὶ τὸ γένος. εἶχε δ᾽ οὕτω τὰ περὶ τὸν νόμον. ἀκμάζων ὁ Περικλῆς ἐν 2
τῇ πολιτείᾳ πρὸ πάνυ πολλῶν χρόνων καὶ παῖδας ἔχων, ὥσπερ εἴρηται, γνησίους νόμον ἔγραψε, μόνους Ἀθηναίους εἶναι τοὺς ἐκ δυεῖν Ἀθηναίων γεγονότας. ἐπεὶ δὲ τοῦ βασιλέως τῶν Αἰγυπτίων δωρεὰν τῷ δήμῳ πέμψαντος τετρακισμυρίους πυρῶν μεδίμνους ἔδει διανέμεσθαι τοὺς πολίτας, πολλαὶ μὲν ἀνεφύοντο δίκαι τοῖς νόθοις ἐκ τοῦ γράμματος ἐκείνου τέως διαλανθάνουσαι καὶ παρορώμεναι, πολλοὶ δὲ καὶ συκοφαντήμασι περιέπιπτον. ἐπράθησαν οὖν ἁλόντες ὀλίγῳ πεντακισχιλίων ἐλάττους, οἱ δὲ μείναντες ἐν τῇ πολιτείᾳ καὶ κριθέντες Ἀθηναῖοι μύριοι καὶ τετρακισχίλιοι καὶ τεσσαράκοντα τὸ πλῆθος ἐξητάσθησαν. ὄντος οὖν δεινοῦ τὸν κατὰ τοσούτων ἰσχύσαντα νόμον ὑπ᾽ αὐτοῦ πάλιν λυθῆναι τοῦ γράψαντος, ἡ παροῦσα δυστυχία τῷ Περικλεῖ περὶ τὸν οἶκον ὡς δίκην τινὰ δεδω-

πεν. — ἐρημίᾳ διαδοχῆς aus Mangel an Erben.

2. ἀκμάζων —, bei der Allgemeinheit dieser Zeitangabe lässt sich die besondere Veranlassung des Gesetzes nicht nachweisen; die Behauptung selbst, dass erst Per. dies Gesetz gegeben habe, ist irrig, z. Them. 1, 1; er wird das alte in Vergessenheit gerathne erneuert haben, vielleicht mit Verschärfung der Strafbestimmungen. — βασιλέως —, Inarus, der Verbündete der Athener, machte ihnen in der Theuerung Ol. 83, 4 = 444 diese bedeutende Getraideschenkung. — διανέμεσθαι, z. Them. 4, 1. — πράθησαν, der Verkauf von fast 5000 Bürgern ist alten und neuern Gelehrten als eine zu harte Strafe anstössig gewesen, daher Aenderungen wie ἀπεκρίθησαν, ἐφωράθησαν, ἀπηλάθησαν, ἐφάνησαν. Doch steht für die spätere Zeit fest, dass bei denjenigen, die bei der Prüfung der Bürgerrolle (durch διαψήφισις, Durchstimmung) ausgewiesen gegen die Ausstossung Appellation (ἔφεσις) eingelegt hatten und vom Gerichtshof abgewiesen worden waren, Verkauf in die Sklaverei und Gütereinziehung Statt fand. Gegen die Annahme, dass es zur Zeit des Per. anders gewesen, spricht kein Grund; wohl aber verlangt der ganze Zusammenhang

κότι τῆς ὑπεροψίας καὶ τῆς μεγαλαυχίας ἐκείνης ἐπέκλασε τοὺς Ἀθηναίους, καὶ δόξαντες αὐτὸν χεμεσητά τε παθεῖν ἀνθρωπίνως τε δεῖσθαι συνεχώρησαν ἀπογράψασθαι τὸν νόθον εἰς τοὺς φράτορας ὄνομα θέμενον τὸ αὐτοῦ. καὶ τοῦτον μὲν ὕστερον ἐν Ἀργινούσαις καταναυμαχήσαντα Πελοποννησίους ἀπέκτεινεν ὁ δῆμος μετὰ τῶν συστρατηγῶν.

**38.** τότε δὲ τοῦ Περικλέους ἔοικεν ὁ λοιμὸς λαβέσθαι λαβὴν οὐκ ὀξεῖαν, ὥσπερ ἄλλων, οὐδὲ σύντονον, ἀλλὰ βληχρᾷ τινι νόσῳ καὶ μῆκος ἐν ποικίλαις ἐχούσῃ μεταβολαῖς διαχρωμένην τὸ σῶμα σχολαίως καὶ ὑπερείπουσαν τὸ φρόνημα τῆς ψυχῆς. ὁ γοῦν Θεόφραστος ἐν τοῖς Ἠθικοῖς διαπορήσας, εἰ πρὸς τὰς τύχας τρέπεται τὰ ἤθη καὶ κινούμενα τοῖς τῶν σωμάτων πάθεσιν ἐξίσταται τῆς ἀρετῆς, ἱστόρηκεν, ὅτι νοσῶν Περικλῆς ἐπισκοπουμένῳ τινὶ τῶν φίλων δείξειε περίαπτον ὑπὸ τῶν γυναικῶν τῷ τραχήλῳ περιηρτημένον, ὡς σφόδρα κακῶς ἔχων, ὁπότε καὶ ταύτην
2 ὑπομένοι τὴν ἀβελτηρίαν. ἤδη δὲ πρὸς τῷ τελευτᾷν ὄντος αὐτοῦ περικαθήμενοι τῶν πολιτῶν οἱ βέλτιστοι καὶ τῶν

eine sehr harte Strafe. — *νεμεσητὰ παθεῖν* er erleide göttliche Strafe für den frühern Stolz und Uebermuth, als dessen Ausfluss das Gesetz betrachtet ward: von derselben Sache Aelian v. h. 6, 10: *μετῆλθε δὲ ἄρα αὐτὸν ἡ ἐκ τοῦ νόμου νέμεσις.* — *ἀνθρωπίνως δεῖσθαι* die Bitte sei menschlich, der menschlichen Natur angemessen, billig und verzeihlich. — *ἀπογράψασθαι*, das Volk gewährte zwar nicht die beantragte Aufhebung des Gesetzes, aber die ausnahmsweise Legitimation des Sohnes durch Aufnahme in die väterliche *φρατρία*, Geschlechtsgenossenschaft, u. Beilegung seines Namens, wozu sonst Vollbürgerthum nöthig war. — *ὕστερον*, Ol. 93, 3 = 406 besiegte die athen. Flotte die spartanische unter Kallikratidas bei den arginusischen Inseln an der Küste von Aeolis: die siegreichen athen. Feldherrn durch einen Sturm verhindert, die auf der See unter den Trümmern herumtreibenden zu retten, wurden in Athen zum Tode verurtheilt.

**38.** 1. *τότε*, in der Mitte des 3ten Kriegsjahres, im Herbst 429, Ol. 87, 4. — *ὀξεῖα* rasch verlaufend. — *βληχρά* schleichend. — *ὑπερείπουσα* allmählig untergrabend. — *γοῦν* stellt die ausgesprochene Behauptung als sichere Folgerung aus einer bestimmten Thatsache hin. — *ἐν τοῖς Ἠθικοῖς* in den Charakteren, einer verloren gegangnen Schrift; denn die vorhandnen *ἠθικοὶ χαρακτῆρες* sind unächt. — *πρὸς τὰς τύχας τρέπεται* ob der Charakter sich nach den jedesmaligen Schicksalen ändere. — *ἀρετή*

φίλων οἱ περιόντες λόγον ἐποιοῦντο τῆς ἀρετῆς καὶ τῆς δυνάμεως, ὅση γένοιτο, καὶ τὰς πράξεις ἀνεμετροῦντο καὶ τῶν τροπαίων τὸ πλῆθος· ἐννέα γὰρ ἦν ἃ στρατηγῶν καὶ ἰκῶν ἔστησεν ὑπὲρ τῆς πόλεως. ταῦτα, ὡς οὐκέτι συνιέν-ος, ἀλλὰ καθῃρημένου τὴν αἴσθησιν αὐτοῦ διελέγοντο πρὸς ἀλλήλους· ὁ δὲ πᾶσιν ἐτύγχανε τὸν νοῦν προσεσχη-ὼς καὶ φθεγξάμενος εἰς μέσον ἔφη θαυμάζειν, ὅτι ταῦτα ἐν ἐπαινοῦσιν αὐτοῦ καὶ μνημονεύουσιν, ἃ καὶ πρὸς τύχην τὴ κοινὰ καὶ γέγονεν ἤδη πολλοῖς στρατηγοῖς, τὸ δὲ κάλ-ιστον καὶ μέγιστον οὐ λέγουσιν. „οὐδεὶς γὰρ" ἔφη „δι' ιὲ τῶν ὄντων Ἀθηναίων μέλαν ἱμάτιον περιεβάλετο."

**39.** Θαυμαστὸς οὖν ὁ ἀνὴρ οὐ μόνον τῆς ἐπιεικείας αὶ πραότητος, ἣν ἐν πράγμασι πολλοῖς καὶ μεγάλαις τεχθείαις διετήρησεν, ἀλλὰ καὶ τοῦ φρονήματος, εἰ τῶν ὄντοῦ καλῶν ἡγεῖτο βέλτιστον εἶναι τὸ μήτε φθόνῳ μήτε υμῷ χαρίσασθαι μηδὲν ἀπὸ τηλικαύτης δυνάμεως μηδὲ ήσασθαί τινι τῶν ἐχθρῶν ὡς ἀνηκέστῳ. καί μοι δοκεῖ ν μειρακιώδη καὶ σοβαρὰν ἐκείνην προσωνυμίαν ἓν τοῦτο ιεῖν ἀνεπίφθονον καὶ πρέπουσαν, οὕτως εὐμενὲς ἦθος

ursprüngliche Mannhaftigkeit. *περίαπτον*, der Gebrauch von uleten war sehr gewöhnlich, beders in Krankheiten, mor. 920 b: *ἐν νοσήμασι χρονίοις πρὸς τὰ νὰ βοηθήματα καὶ τὰς συνή-ς διαίτας ἀπείποντες ἐπὶ κα-ρμοὺς καὶ περίαπτα καὶ ὀνεί-ς τρέπονται.*

. *ἀνεμετροῦντο* ermassen, rie- sich den ganzen Werth seiner ten ins Gedächtniss, Seneka de 3, 36: *facta et dicta mea re-tior.* — *καθῃρημένος τὴν θησιν* seiner Besinnung be-ot. — *ὅτι ἐπαινοῦσι*, die ab-ige Rede hält die direkte Kon-ktion der ursprünglichen Fas-; fest. — *ταῦτα αὐτοῦ* das von ihm. — *πρὸς τύχην* á was er mit dem Glück zu en habe. — *τῶν ὄντων Ἀθη-ναίων* von denen, die Athener sind, die Behauptung ausschliesslich auf die Athener beschränkend. — ein schwarzes Gewand ward nicht nur bei Todesfällen, sondern bei allen Ereignissen umgethan, über die man Trauer und Schmerz an den Tag legen wollte.

**39.** 1. *τοῦ φρονήματος* der Gesinnung, wie sie sich in dieser Selbstschätzung aussprach. — *καλῶν* rühmlicher Thaten. — *τὸ μήτε* —, denn durch solche Handlungsweise war Per. zu seinem Ausspruch berechtigt. — *ἐχθρῶν* von *ἐχθρός*. — *ἀνηκέστῳ* = *ἀκα-ταλλάκτῳ*. — *ἀπό* das Ausgehen der Wirkung bezeichnend, was sonst wohl der Ausfluss solcher Macht ist. — *προσωνυμίαν* s. 8, 2. — *ἓν τοῦτο*, statt einfach fort-zufahren: dass sie (die Benennung)

καὶ βίον ἐν ἐξουσίᾳ καθαρὸν καὶ ἀμίαντον Ὀλύμπιον προσαγορεύεσθαι, καθάπερ τὸ τῶν θεῶν γένος ἀξιοῦμεν αἴτιον μὲν ἀγαθῶν, ἀναίτιον δὲ κακῶν πεφυκὸς ἄρχειν καὶ βασιλεύειν τῶν ὄντων, οὐχ ὥσπερ οἱ ποιηταὶ συνταράττοντες ἡμᾶς ἀμαθεστάταις δόξαις ἁλίσκονται τοῖς αὐτῶν ποιήμασι τὸν μὲν τόπον, ἐν ᾧ τοὺς θεοὺς κατοικεῖν λέγουσιν, ἀσφαλὲς ἕδος καὶ ἀσάλευτον καλοῦντες, οὐ πνεύμασιν, οὐ νέφεσι χρώμενον, ἀλλ' αἰθρίᾳ μαλακῇ καὶ φωτὶ καθαρῷ τὸν ἅπαντα χρόνον ὁμαλῶς περιλαμπόμενον, ὡς τοιαύτης τῷ μακαρίῳ καὶ ἀθανάτῳ διαγωγῆς μάλιστα πρεπούσης, αὐτοὺς δὲ τοὺς θεοὺς ταραχῆς καὶ δυσμενείας καὶ ὀργῆς ἄλλων τε μεστοὺς παθῶν ἀποφαίνοντες οὐδ' ἀνθρώ-
2 ποις νοῦν ἔχουσι προσηκόντων. ἀλλὰ ταῦτα μὲν ἴσως ἑτέρας δόξει πραγματείας εἶναι. τοῦ δὲ Περικλέους ταχεῖαν αἴσθησιν καὶ σαφῆ πόθον Ἀθηναίοις ἐνεργάζετο τὰ πράγματα. καὶ γὰρ οἱ ζῶντος βαρυνόμενοι τὴν δύναμιν ὡς ἀμαυροῦσαν αὐτοὺς εὐθὺς ἐκ ποδῶν γενομένου πειρώμενοι ῥητόρων καὶ δημαγωγῶν ἑτέρων ἀνωμολογοῦντο μετριώτερον ἐν ὄγκῳ καὶ σεμνότερον ἐν πραότητι μὴ φύσει

einem so wohlwollenden Charakter und bei aller Macht reinen und unbefleckten Lebenswandel beigelegt ward, erhält die Konstruktion durch den appositiven Anschluss von (τὸ) Ὀλύμπιον προσαγορεύεσθαι an ἐν τοῦτο eine freiere Gestalt; der an sich überflüssige, weil durch ἐκείνην προσων. hinreichend angedeutete Zusatz wird gerechtfertigt durch die im Folgenden darauf genommene Beziehung bei der Schilderung des Olymps als des Göttersitzes. — αἴτιον, nach des Stoikers Chrysippus Ansicht, τῶν αἰσχρῶν τὸ θεῖον παραίτιον γίνεσθαι οὐκ εὔλογόν ἐστιν, mor. 1049ᵉ. — ποιηταί, darum wollte Plato die Dichter, die Erfinder u. Verbreiter mythologischer Fabeln aus seinem Staate verbannt wissen. — ἀσφαλὲς ἕδος, Homer Od. 6, 42: Οὔ-

λυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ ἔμμεναι. Pindar Nem. 6, 3: ὁ δὲ χάλκεος ἀσφαλὴς αἰὲν ἕδος μένει οὐρανός. — ἀ χρῆσθαι nicht haben, frei sein, ursprünglich gedacht als Bedürfnisslosigkeit; Sertor. 8 von den Inseln der Seligen: ὄμβροις χρῆσθαι σπανίως, τὰ δὲ πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις. — διαγωγή durch den Aufenthaltsort bedingte Lebensweise.

2. σαφὴς πόθος, sich deutlich u. unabweisbar kundgebendes Verlangen. — βαρυνόμενοι, Horat. epist. 2, 1, 13: *urit enim fulgore suo qui praegravat artes infra se positas.* — ῥητόρων z. 7, 3. — δημαγωγῶν, wie die an Geburt u. Gesinnung gleich gemeinen Eukrates, Lysikles, Kleon. — ἀνωμολογοῦντο, verständigten, vereinigte

τρόπον· ἡ δ' ἐπίφθονος ἰσχὺς ἐκείνη μοναρχία λεγομένη καὶ τυραννὶς πρότερον ἐφάνη τότε σωτήριον ἔρυμα τῆς πολιτείας γενομένη· τοσαύτη φθορὰ καὶ πλῆθος ἐπέκειτο κακίας τοῖς πράγμασιν, ἣν ἐκεῖνος ἀσθενῆ καὶ ταπεινὴν ποιῶν ἀπέκρυπτε καὶ κατεκώλυεν ἀνήκεστον ἐξουσίᾳ γενέσθαι.

ich in der Ansicht. — φθορά sittliches Verderben. — κακίας = κακῶν, das Abstraktum wegen φθορά. — ἐξουσίᾳ durch Macht, die sie ohne seinen Widerstand gewonnen haben würde.

---

## Berichtigung.

S. 6. Z. 19. l. den st. allen.

Druck von Breitkopf und Härtel in Leipzig.

Von der

# SAMMLUNG
## griechischer und lateinischer Schriftsteller
### mit deutschen Anmerkungen

herausgegeben von

**M. Haupt** und **H. Sauppe**

sind bereits erschienen:

**Arrians** Anabasis. Von *C. Sintenis.* 1. Bd. 15 Ngr.
— — 2. Bd. mit Karte von *Kiepert.* 18 Ngr.

**Demosthenes**, ausgewählte Reden. Von *A. Westermann.*
1. Bd. Philippische Reden. (Unter der Presse.)
2. Bd. (Reden vom Kranze und gegen Leptines.) 15 Ngr.
Der 3. Band erscheint Michaelis 1851.

**Euripides**, Auswahl. Von *Schöne.* 1. Bd. Bakchen, Iphigenia in Taurien. 15 Ngr.
Der 2. u. 3. Bd. folgen in den nächsten Jahren.

**Herodotos.** Von *B. H. Lhardy.* 1. Bd. 1. u. 2. Buch. 18 Ngr.
Der 2. und 3. Band erscheinen 1851.

**Homers** Odyssee. Von *J. U. Fäsi.* 1. Bd. 1—12 Ges. 20 Ngr.
— — — 2. Bd. 13—24 Ges. 20 Ngr.
Die Ilias, ebenfalls in 2 Bänden, erscheint 1851.

**Isokrates**, ausgewählte Reden (Panegyricus und Areopagiticus). Von *R. Rauchenstein.* 10 Ngr.

**Lysias**, ausgewählte Reden. Von *R. Rauchenstein.* 10 Ngr.

**Plutarch**, ausgewählte Biographien. Von *C. Sintenis.*
1. Bd.: Aristides und Cato major. 10 Ngr.
2. Bd.: Agis und Cleomenes. 7½ Ngr.
3. Bd.: Themistokles und Perikles. 10 Ngr.

**Sophokles.** Von *F. W. Schneidewin.* 1. Bd. Ajas und Philoktetes. 15 Ngr.
Band 2 und 3 erscheinen 1851.

**Xenophons** Anabasis. Von *F. K. Hertlein.* 18 Ngr.

---

**Cicero**, Brutus de claris oratoribus. Von *O. Jahn.* 10 Ngr.
— Cato major. Von *Sommerbrod.* (Unter der Presse.)
— Disputat. Tusculanae. Von *G. Tischer.* 18 Ngr.
— De natura deorum. Von *G. F. Schoemann.* 15 Ngr.
— ausgewählte Reden. Von *K. Halm.* 5. Bd.: die Reden für Milo, für Ligarius und für Deiotarus. 10 Ngr.
Der 1—4. und 6. Band sollen in halbjähr. Zwischenräumen folgen.

**Cicero**, Orator. Von *O. Jahn*. 12 Ngr.
**Cornelius Nepos**. Von *K. Nipperdey*. 15 Ngr.
**Quintiliani** liber X. Von *Bonnell*. (Unter der Presse.)
**Tacitus**. Von *K. Nipperdey*. 1. Bd. (Unter der Presse.)
Der 2. 3. u. 4. Band erscheinen in halbjährigen Zwischenräumen.
**Virgil's Gedichte**. Von *Th. Ladewig*.
1. Bd.: Bucolica und Georgica. 10 Ngr.
Band 2 und 3, die Aeneis enthaltend, erscheinen 1851.

---

## In den nächsten Jahren werden erscheinen:

**Lucian**, Auswahl.
**Platon**, Auswahl, von *Sauppe*. 4 Bändchen.
**Thukydides**, von *Ullrich*. 3 Bändchen.

---

**Caesar**, von *Kraner*.
**Cicero**, Laelius.
— de officiis, von *Unger*.
— de oratore, von *Eckstein*.
**Horatius**, von *Haupt*.
**Livius**. 9 Bändchen.
**Ovidii** Metamorphoseon libri, von *Haupt*.
**Phaedrus**, von *Haupt*.
**Plautus**, Auswahl, von *Fleckeisen*.
**Sallustius**, von *Jacobs*.
**Terentius**, von *Sauppe*.

---

Druck von Breitkopf und Härtel in Leipzig.